ſect. 9. εἰ καὶ δωρητὸν τὸ μεγαλοφυὲς μᾶλλον ἢ κτητὸν, ὅμως, καθ᾽ ὅσον οἷόντε, τὰς ψυχὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη, καὶ ἐγκύμονας ἀεὶ ποιεῖν γενναίου παραστήματος. Nempe veteribus, præcipuè Platone et Demoſthene, legendis animum ad eam, quam in maximis minimis admiramur, extulit altitudinem. Ab eodem celſo elatoque animo profectum eſt cum libertatis civilis ſtudium, cujus clara veſtigia impreſſit divino illi epilogo libri Π. Υ. tum alterius, quæ in ſententiâ liberè dicendâ, et in aliorum erroribus caſtigandis, cernitur. Ex quo a Porphyrio in Vitâ Plotini p. 126. ἐλεγκτικώτατος dicitur, et τὰ τῶν ἄλλων σχεδὸν πάντα τῶν καθ᾽ αὑτὸν διελέγξας. Eloquentiam Longini ita abjicit et contemnit Græculus ineptus, Joannes Siceliota, cujus locum ſupra p. 15. adſcripſimus, ut eum nihil ad Dionyſium Halicarnaſſenſem et Ariſtidem eſſe dicat. Nos quidem non ſumus ii, qui orationibus, quas Dionyſius hiſtoriæ interpoſuit, eloquentiæ laudem detrahamus, aut Demoſthenem feliciter ab Ariſtide expreſſum eſſe negemus. Veruntamen uterque, noſtrâ ſententiâ, cum Longino comparatus, jacet, et velut ſpiritu caret. Quanta enim et quam incredibilis vis dicendi ex libello Π. Υ. elucet? Profecto nullus unquam Rhetorum et Sophiſtarum aut ſcripſit, aut ſcribere potuit aliquid diſertius. Unus Longinus ex omnibus Græcis magiſtris, id quod Ciceronem in libris rhetoricis feciſſe conſtat, quod aliis præcipit, ipſe ſcribendo præſtat, nec minus eloquentiæ præceptis, quam exemplo ſuo facit eloquentes. In docendo, quo-

modò ad id quod in oratione magnificum eſt, perveniatur, grandis eſt ac pæne tragicus. In tranſlationibus ut feliciter audax, et maxime ſimilis Plutarcho, ſic fortaſſe nimius in illis cumulandis, nec ſatis conſentiens præceptis ſuis. Excerpta Rhetorica MSS. in Bibl. Mediceâ: Ὅτι Ἀριστοτέλης (de Poetic. 22.) τὸ σὺν πάντα μεταφέροντας αἰνίγματα γράφειν ἔλεγεν, διὸ λέγει Λογγῖνος σπανίως κεχρῆσθαι καὶ τούτῳ τῷ εἴδει. Ex antiquis illis, præter cæteros, Platonem et Demoſthenem imitatur. In quibus legendis, ſi venuſtatem ejus ſentire velis, te multum temporis contriviſſe oportet. Præter Græcam et Syriacam linguam, utramque vernaculam, calluit etiam Latinam, ut non ſolum ex Demoſthenis et Ciceronis comparatione Π. Υ. ſect. 12. ſed etiam ex Suidâ intelligi licet. Sic enim ille Lexicographus: Αἰωνοάριος. ὁ Ἰανουάριος μήν. οὕτω Λογγῖνος αὐτὸν ἑρμηνεῦσαι βιάζεται, ὡσανεὶ αἰῶνος πατέρα. quæ repetit v. Ἰανουάριος. Cum Suidâ convenit Tzetzes in Poſt-Homericis p. 75. Τὸν ῥ᾽ Αἰωνοάριον κικλήσκει μὲν Λογγῖνος, Ἰανουάριον δὲ ἀνέρες πάντες καλέουσι. Quam vocis notationem ſi quis in homine Græco rideat; is potiore jure Ciceronem de N. D. II. 27, *Janum*, quaſi *Eanum*, ab *eundo* derivantem rideat. Nec tamen Longinus mihi quicquam a ſcriptoribus Latinis, nominatim a Quinctiliano, ſumſiſſe videtur, ut Tollius et Pearcius ad librum Π. Υ. ſect. 2. et 38. crediderunt. Nam quæ illis locis e Latino Rhetore ducta putantur, tam ſunt vulgaria, ut, ſi Longinus illa mutuari ab aliis voluiſſet, potius a Græcis, quam a Latinis ſumſiſſet.

ſumſiſſet. Nec facile adducor, ut eum quicquam Dionyſio Halicarnaſſenſi debere credam. Non tali ſiccitate areſcebat, ut ingenium alienis fontibus rigaret.

§. XIII.

Philoſophiam, quam profeſſus eſt, in mores abiiſſe, tametſi mors ejus ſatis ſuperque declarat, tamen hoc quoque ſit teſtimonio. Porphyrius diſciplinam ejus valere juſſerat, ut ſe ad meliorem, ſi Diis placet, Plotini conferret. Quam levitatem, tantum abfuit Longinus, ut ad contemtum ſui traheret, injuriamque injuriæ referret, ut potius hunc ipſum deſertorem in ſuis haberet, Palmyram ad ſe invitaret, et, quanti eum faceret, libri περὶ ὁρμῆς dedicatione publicè declararet. Quæ omnia nobis narrat ipſe Porphyrius in Vitâ Plotini pag. 120. 124. 131. Erit fortaſſe, qui doctrinam Chriſtianam Longino ad talem animi moderationem profuiſſe dicat. Certe ſemichriſtianum eum vocat Iſ. Caſaubonus ad Vopiſc. Aurelian. 30. propter honorificum, quod de Moyſe fecit, judicium. At vero, ſi illa ratio valeret, multi, qui ſacrorum ſcriptorum cum laude meminerint, in his Numenius et Amelius, in ſemichriſtianorum numerum referendi eſſent. Omnino plerique ejus ætatis philoſophi Chriſtianorum libros ſatis diligenter legerant, ſive ut eos refellerent, quod Celſum et Porphyrium feciſſe ſcimus, ſive quod Chriſtianiſmum pro Orientalis

philoſophiæ ſectâ haberent. Vide Holſtenium de Vitâ Porphyr. cap. 5. p. 20. Sed Caſaubonum jam ante nos confutavit Langbænius ad Longin. π. ῦ. ſect. 9. p. 61. Et ipſe vir ſummus hanc ſententiam repudiaſſe videtur Exercitat. I. in Baron. Annal. p. 149. ubi Longinum *paganum hominem* appellat.

§. XIV.

Reliquum eſt, ut omnia Longini ſcripta, quorum magnam copiam extitiſſe narrat Eunapius in Porphyr. p. 14. breviter recenſeamus.

Οἱ Φιλόλογοι. de quibus, quantum ſatis eſt, diſputavimus p. 25.

Περὶ τοῦ κατὰ Μειδίου, ſcilicet λόγου, id eſt, de *Demoſthenis oratione in Midiam*. Apud Suidam v. Λογγῖνος, qui ſolus hunc librum memorat, pro Μειδίου ſcribitur Φειδίου. Quem errorem correxit Langbænius in Vitâ Longini. Pertinet hic liber ad quæſtionem inter Rhetores agitatam, Midiana utrum eſſet χαρακτῆρος παθητικοῦ, an πραγματικοῦ? Photius Bibl. Cod. CCLXV. p. 1470. ὡσαύτως καὶ ὁ κατὰ Μειδίου οὐκ ὀλίγοις γέγονεν ἐν σπουδῇ, καὶ τῆς πρὸς ἀλλήλους ἀμφισβητήσεως ἀφορμὰς παρέχει. καὶ οἱ μὲν τοῦ παθητικοῦ χαρακτῆρος εἶναί φασιν αὐτὸν, μετὰ δεινώσεως ἐπικεχειρισμένον· οἱ δὲ, τοῦ πραγματικοῦ. Sic Longinus apud eundem Photium l. c. orationis in Leptinem προοίμιον ἀγωνιστικὸν eſſe judicavit. Neſcio, an hic quoque liber pars fuerit τῶν Φιλολόγων.

Ἀπορήματα

Ἀπορήματα Ὁμηρικά. Suidas. Exemplum talium quæſtionum ſcribendarum dedit Ariſtoteles, cujus Ἀπορήματα Ὁμήρου, præter alios, laudat Grammaticus MS. Sangermanenſis: Βασίλιοσα. Ἀλκαῖος γηνυμήδει. Ἀριστοτέλης Ὁμήρου Ἀπορήμασιν. Adde Phrynichum de Dict. Attic. p. 112. Poſtea multi Grammatici hujuſmodi quæſtionibus tractandis ingenium exercuerunt, de quibus vide Jo. Wowerium de Polymath. cap. X. p. 77. Forte ex hoc opere Euſtathius ſumſit emendationes Homericas, quas commemorat ad Il. A. p. 67. et 106.

Εἰ φιλόσοφος Ὅμηρος; Suidas. Non unus veterum hâc queſtione otium ſuum oblectavit. Hermogenes, Medicus Smyrnæus, περὶ τῆς Ὁμήρου σοφίας ſcripſiſſe dicitur in marmore Græco, quod edidit L. Kuſterus Comm. Acad. Inſcript. T. IV. p. 665. Vide Daviſium ad Max. Tyr. Diſſ. XXXII. p. 613. Porphyrius etiam de eodem argumento, in Longini gratiam, ut Holſtenius in ejus Vitâ cap. VIII. pag. 44. ſuſpicatur, ſingularem librum ſcripſit.

Προβλήματα Ὁμήρου καὶ λύσεις, ἐν βιβλίοις β'. Suidas. Ariſtotelis etiam liber hoc titulo laudatur. Poſtea Grammatici certatim in hujuſmodi problematis ſolvendis elaborarunt, inde λυτικοὶ appellati, de quibus vide Jonſium de Script. Hiſt. Phil. II. 17. p. 206. et Cel. Valckenarium Diſſ. de Schol. in Homer. ined. p. 145.

Τίνα

"σαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα
"μεταςρέψαις ἢ τῶν χαλκῶν· αἰδημονεςέ-
"ρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν
"τοῖς ὀφθαλμοῖς παρθένων." Ἀμφικράτει,
καὶ οὐ Ξενοφῶντι, ἔπρεπε τὰς ἐν τοῖς ὀφ-
θαλμοῖς ἡμῖν κόρας λέγειν "παρθένους
"αἰδήμονας." Οἷον δὲ, Ἡράκλεις, τὸ τὰς
ἁπάντων ἑξῆς κόρας αἰσχυντηλὰς εἶναι πεπεῖ-
σθαι, ὅπου φασὶν οὐδενὶ οὕτως ἐνσημαίνε-
σθαι τήν τινων ἀναίδειαν, ὡς ἐν τοῖς ὀφθαλ-
μοῖς; ἰταμὸν, "Οἰνοβαρὲς, κυνὸς ὄμματ'
"ἔχων," φησίν. Ὁ μέν τοι Τίμαιος, ὡς
φωρίου τινὸς ἐφαπτόμενος, οὐδὲ τοῦτο Ξε-

"rum *ſtatuarum*, oculos "minus flectere quàm "ærearum: verecundiores autem illos putares "etiam ipſis, quæ in oculis ſunt, virginibus:" Amphicratem, non Xenophontem, decuit pupillas, quæ ſunt in oculis noſtris, appellare "virgines verecundas." Quale autem mehercule eſt, perſuaſum habere omnium pupillas ſine diſcrimine verecundas fuiſſe, cum vulgò dicunt nullâ in re impudentiam quorundam tam declarari quàm in oculis? vocat *aliquis* (ſc. Homerus) *hominem* impudentem, "O temulente, caninos "oculos habens." Timæus quidem, ut qui furtivum aliquod attigerit, ne hoc frigidum *dic-*

νοφῶντι τὸ ψυχρὸν κατέλιπεν· φησὶ γοῦν ἐπὶ τοῦ Ἀγαθοκλέους καὶ τὸ, “τὴν ἀνεψιὰν,
“ἑτέρῳ δεδομένην, ἐκ τῶν ἀνακαλυπτηρίων
“ἁρπάσαντα ἀπελθεῖν· ὃ τίς ἂν ἐποίησεν
“ἐν ὀφθαλμοῖς κόρας, μὴ πόρνας, ἔχων;
Τὶ δαί; ὁ τ᾽ ἄλλα θεῖος Πλάτων, τὰς δέλτους θέλων εἰπεῖν, “γράψαντες, φησὶν, ἐν
“τοῖς ἱεροῖς θήσουσι κυπαριττίνας μνήμας·”
καὶ “πάλιν, περὶ δὲ τειχῶν, ὦ Μέγιλλε,
“ἐγὼ ξυμφεροίμην ἂν τῇ Σπάρτῃ, κα-
“θεύδειν ἐᾷν ἐν τῇ γῇ κατακείμενα τὰ
“τείχη, καὶ μὴ ἐπανίστασθαι.” Καὶ τὸ Ἡροδότειον οὐ πόῤῥω, τὸ φάναι “τὰς καλὰς

tum Xenophonti reliquit: nempe dicit de Agathocle etiam hoc, “illum con-
“ſobrinam alteri *in con-*
“*jugio* datam ab ipſis
“muneribus nuptialibus
“abripuiſſe, et abiiſſe:
“Quod quis feciſſet, qui
“in oculis virgines, non
“ſcorta, haberet?” Quid autem *facit* Plato in aliis rebus *ſcriptor* divinus? cum velit dicere libros,
“poſtquam (inquit)
“ſcripſerint, in templis
“deponent cupreſſea
“monumenta:” rurſuſque, “Quod ad muros
“attinet, O Megille, e-
“go aſſentiar Spartæ, uti
“dormire ſinamus mu-
“ros humi jacentes, et
“non exſuſcitemus.” Et illud Herodoti non procul eſt *à frigido*, nempe
“vocare formoſas mu-

"γυναῖκας ἀλγηδόνας ὀφθαλμῶν." Καίτοι γε ἔχει τινὰ παραμυθίαν· οἱ γὰρ παρ' αὐτῷ ταυτὶ λέγοντές εἰσιν οἱ βάρβαροι, καὶ ἐν μέθῃ· ἀλλ' οὐδ' ἐκ τοιούτων προσώπων διὰ μικροψυχίαν καλὸν ἀσχημονεῖν πρὸς τὸν αἰῶνα.

Sect. V. Ἅπαντα μέν τοι, τὰ οὕτως ἄσεμνα, διὰ μίαν ἐμφύεται τοῖς λόγοις αἰτίαν, διὰ τὸ περὶ τὰς νοήσεις καινόσπουδον, περὶ ὃ δὴ μάλιστα κορυβαντιῶσιν οἱ νῦν. Ἀφ' ὧν γὰρ ἡμῖν τ' ἀγαθὰ, σχεδὸν ἀπ' αὐτῶν τούτων καὶ κακὰ γεννᾶσθαι φιλεῖ. Ὅθεν ἐπίφορον εἰς συνταγμάτων κατόρθωσιν τά τε κάλλη τῆς ἑρμηνείας, καὶ τὰ ὕψη, καὶ

"lieres dolores oculo-
"rum:" quanquam habet quandam excuſationem; ii enim, qui apud ipſum hoc dicunt, barbari ſunt et ebrii: ſed neque ſub talibus perſonis æquum eſt in æternum abjecti animi notâ inuri.

Omnia quidem, quæ ſunt adeo indecora, naſcuntur ſcriptis unâ ex cauſâ, *nempe* ex ſtudio novitatis in ſenſibus *proferendis*, (quâ in re præſertim hodierni *ſcriptores* inſaniunt:) à quibus enim bona, ab his prope ipſis etiam mala ſolent nobis provenire: unde et Ornamenta Elocutionis, et Sublimitates, et præterea Suavitates *ſunt* id, quod fert *homines* ad li-

πρὸς τούτοις αἱ ἡδοναί· καὶ αὐτὰ ταῦτα, καθάπερ τῆς ἐπιτυχίας, οὕτως ἀρχαὶ καὶ ὑποθέσεις καὶ τῶν ἐναντίων καθίστανται. Τοιοῦτόν πως καὶ αἱ μεταβολαὶ, καὶ ὑπερβολαὶ, καὶ τὰ πληθυντικά· δείξομεν δ' ἐν τοῖς ἔπειτα τὸν κίνδυνον, ὃ ἔχειν ἐοίκασι. Διόπερ ἀναγκαῖον ἤδη διαπορεῖν καὶ ὑποτίθεσθαι, δι' ὅτου τρόπου τὰς ἀνακεκραμένας κακίας τοῖς ὑψηλοῖς ἐκφεύγειν ἂν δυναίμεθα.

Ἔσται δὲ, ὦ φίλος, εἴ τινα περιποιησαίμεθ' ἐν πρώτοις καθαρὰν τοῦ κατ' ἀλήθειαν ὕψους ἐπιστήμην καὶ ἐπίκρισιν· καίτοι τὸ πρᾶγμα δύσληπτον· ἡ γὰρ τῶν λόγων κρίσις πολλῆς ἐστι πείρας τελευ- Sect. VI.

bros rectè ſcribendos; et *tamen* hæc ipſa ſunt principia cauſæque, ut felicitatis *in ſcriptis*, ita etiam contrariorum. Tale quidem *ſunt*, et Hyperbolæ, et Pluralia: oſtendemus autem in iis, quæ ſequuntur, periculum, quod videntur habere. Quare neceſſarium eſt jam inquirere et ſtatuere, quo modo illa vitia, quæ Sublimibus commixta ſunt, fugere poſſimus.

Eſt autem *modus*, O Amice, ſi quam claram veræ Sublimitatis ſcientiam, et judicium imprimis comparaverimus; quanquam res eſt ad conſequendum difficilis; nam de ſcriptis judicium eſt multæ experientiæ

ταῖον ἐπιγέννημα. Οὐ μὴν ἀλλ', ὡς εἰπεῖν ἐν παραγγέλματι, ἐντεῦθέν ποθεν ἴσως τὴν διάγνωσιν αὐτῶν οὐκ ἀδύνατον πορίζεσθαι.

Sect. VII. Εἰδέναι χρή, φίλτατε, διότι, καθάπερ κἀν τῷ κοινῷ βίῳ οὐδὲν ὑπάρχει μέγα, οὗ τὸ καταφρονεῖν ἐστὶν μέγα· οἷον πλοῦτοι, τιμαί, δόξαι, τυραννίδες, καὶ ὅσα δὴ ἄλλα ἔχει πολὺ τὸ ἔξωθεν προστραγῳδούμενον, οὐκ ἂν τῷ γε φρονίμῳ δόξειεν ἀγαθὰ ὑπερβάλλοντα, ὧν αὐτὸ τὸ περιφρονεῖν ἀγαθὸν οὐ μέτριον· θαυμάζουσι γοῦν τῶν ἐχόντων αὐτὰ μᾶλλον τοὺς δυναμένους ἔχειν, καὶ διὰ μεγαλοψυχίαν ὑπερορῶντας. Τῇ δέ που καὶ

ultimus fœtus. Veruntamen, ut loquar per præceptum, hinc forſitan non impoſſibile eſt judicium de iis conſequi.

Oportet ſcire, chariſſime, quòd quemadmodum etiam in communi vitâ nihil eſt magnum, quod contemnere magnum eſt: velut Divitiæ, Honores, Dignitates, Imperia, et quæcunque alia multum tragici faſtûs extrà *apparentis* habent, non poſſunt videri ſapienti eſſe bona præſtantia, quorum contemptus ipſe non mediocre bonum eſt; quippe illi, qui iis fruuntur, minus admirationi ſunt quàm illi, qui poſſunt habere, et *tamen* contemnunt propter animi magnitudinem: Eodem modo etiam de

ἐπὶ τῶν διηρμένων ἐν ποιήμασι καὶ λόγοις ἐπισκεπτέον, μή τινα μεγέθους φαντασίαν ἔχοι τοιαύτην, ᾗ πολὺ πρόσκειται τὸ εἰκῆ προσαναπλαττόμενον, ἀναπτυσσόμενα δὲ ἄλλως εὑρίσκοιτο χαῦνα, ὧν τοῦ θαυμάζειν τὸ περιφρονεῖν εὐγενέστερον. Φύσει γάρ πως ὑπὸ τάληθοῦς ὕψους ἐπαίρεταί τε ἡμῶν ἡ ψυχὴ, καὶ γαῦρόν τι ἀνάστημα λαμβάνουσα πληροῦται χαρᾶς καὶ μεγαλαυχίας, ὡς αὐτὴ γεννήσασα ὅπερ ἤκουσεν. Ὅταν οὖν ὑπ' ἀνδρὸς ἔμφρονος καὶ ἐμπείρου λόγων πολλάκις ἀκουόμενόν τι πρὸς μεγαλοφροσύνην τὴν ψυχὴν μὴ συνδιατιθῇ, μηδ' ἐγκατα-

tis, quæ Sublimia ſunt in poëmatibus et *ſolutis* orationibus, videndum eſt, ne nonnulla habeant hanc magnitudinis ſpeciem, (cui multum adhæret temerè affictum;) explicata verò deinde inveniantur tumida *fuiſſe*, quæ deſpicere generoſius eſt quàm admirari. Naturaliter enim animus noſter verâ Sublimitate elevatur, recipienſque ſuperbam quandam erectionem impletur gaudio et gloriatione, tanquam ipſe produxiſſet id quod *ſolùm* audivit. Quando igitur aliquid, ſæpiùs auditum ab homine intelligente et in ſcriptis verſato, animum ejus non celſiorem faciat, neque relinquat in animo plus cogitatione conceptum

λείπῃ τῇ διανοίᾳ πλεῖον τοῦ λεγομένου τὸ ἀναθεωρούμενον, πίπτῃ δ', ἂν τὸ συνεχὲς ἐπισκοπῇς, εἰς ἀπαύξησιν· οὐκ ἂν ἔτ' ἀληθὲς ὕψος εἴη, μέχρι μόνης τῆς ἀκοῆς σωζόμενον. Τοῦτο γὰρ τῷ ὄντι μέγα, οὗ πολλὴ μὲν ἡ ἀναθεώρησις, δύσκολος δὲ, μᾶλλον δ' ἀδύνατος ἡ κατεξανάστασις· ἰσχυρὰ δὲ ἡ μνήμη καὶ δυσεξάλειπτος. Ὅλως καὶ καλὰ νόμιζε ὕψη καὶ ἀληθινὰ τὰ διαπαντὸς ἀρέσκοντα καὶ πᾶσιν· ὅταν γὰρ τοῖς ἀπὸ διαφόρων ἐπιτηδευμάτων, βίων, ζήλων, ἡλικιῶν, λόγων, ἕν τι καὶ ταυτὸν ἅμα περὶ τῶν αὐτῶν δοκῇ, τόθ' ἡ ἐξ ἀσυμφώνων ὡς

quàm verbis expreſſum; cadat autem, ſi tu illud aſſiduè contempleris, in id quod *exile et* minutum eſt; non poteſt *illud* eſſe Sublimitas vera, quod non ultra auditum perdurat. Hoc enim reverà magnum eſt, quod multum mente concipiendum efficit, cui autem difficile, potius verò impoſſibile eſt reſiſtere: cujus denique recordatio firma eſt et vix extinguenda. Omnino verò ea arbitrare eſſe pulchra et vera Sublimia, quæ ſemper et omnibus placent; cum enim iis omnibus, qui differunt moribus, vitæ generibus, ſtudiis, et ætatibus, unum aliquid idemque ſimul de iiſdem ſcriptis videatur, tunc illa, quæ fit ex diſ-

κρίσις καὶ συγκατάθεσις τῆς ἐπὶ τῷ θαυμαζομένῳ πίστιν ἰσχυρὰν λαμβάνει καὶ ἀναμφίλεκτον.

Ἐπεὶ δὲ πέντε, ὡς ἂν εἴποι τις, πηγαί Sect. VIII. τινές εἰσιν αἱ τῆς ὑψηγορίας γονιμώταται, (προϋποκειμένης, ὥσπερ ἐδάφους τινὸς κοινοῦ, ταῖς πέντε ταύταις ἰδέαις τῆς ἐν τῷ λέγειν δυνάμεως, ἧς ὅλως χωρὶς οὐδέν,) πρῶτον μὲν καὶ κράτιστον, τὸ περὶ τὰς νοήσεις ἀδρεπήβολον, ὡς κἀν τοῖς περὶ Ξενοφῶντος ὡρισάμεθα· δεύτερον δὲ, τὸ σφοδρὸν καὶ ἐνθουσιαστικὸν πάθος· ἀλλ᾽ αἱ μὲν δύο αὗται τοῦ ὕψους κατὰ τὸ πλέον αὐθιγενεῖς συστάσεις,

cordibus, quaſi mixtio et conſenſus fidem ei, quod in admiratione eſt, vadidam indubitatamque acquirit.

Quoniam vero quinque (ut ita dicam) fontes ſunt fœcundiſſimi Sublimitatis, (ſubſtratâ prius, quaſi communi quodam fundamento, his quinque formis facultate dicendi, ſine quâ omnino nihil eſt;) primum quidem et valentiſſimum eſt felix in ſenſibus audacia, ut etiam in illis, quæ de Xenophonte ſcripſimus, definivimus: Secundum verò eſt vehemens et quaſi numinis afflatu conceptus Affectus; ſed hæ duæ res, quæ conſtituunt Sublimitatem, maximâ ſui parte ſunt ingenitæ *hominibus*; quæ

αἱ λοιπαὶ δ' ἤδη καὶ διὰ τέχνης· ἥ τε ποιὰ τῶν σχημάτων πλάσις, (δισσὰ δέ που ταῦτα, τὰ μὲν νοήσεως, θάτερα δὲ λέξεως·) ἐπὶ δὲ τούτοις ἡ γενναία φράσις, ἧς μέρη πάλιν ὀνομάτων τε ἐκλογὴ, καὶ ἡ τροπικὴ καὶ πεποιημένη λέξις· πέμπτη δὲ μεγέθους αἰτία, καὶ συγκλείουσα τὰ πρὸ ἑαυτῆς ἅπαντα, ἡ ἐν ἀξιώματι καὶ διάρσει σύνθεσις· φέρε δὴ, τὰ ἐμπεριεχόμενα καθ' ἑκάστην ἰδέαν τούτων ἐπισκεψώμεθα, τοσοῦτον προειπόντες, ὅτι τῶν πέντε μορίων ὁ Καικίλιός ἐστιν ἃ παρέλιπεν, ὡς καὶ τὸ πάθος ἀμέλει. Ἀλλ' εἰ μὲν ὡς ἕν τι ταῦτ' ἄμφω, τό τε ὕψος καὶ τὸ παθητικὸν,

verò jam ſequuntur, etiam ex arte *veniunt*; *nempe*, et *(quæ eſt fons tertius)* certa quædam figurarum conformatio; (duplices autem hæ *figuræ ſunt*, aliæ ſententiæ, aliæ dictionis:) et præ tereà ſplendida Elocutio *(quæ quartus eſt fons)* cujus rurſus partes ſunt et delectus verborum, et dictio tropis plena atque facta: Quinta verò cauſa Sublimitatis, eaque quæ concludit omnia ante ſe *nominata*, eſt magnifica elataque Compoſitio; *Quoniam, inquam, hi quinque ſunt fontes Sublimitatis*, agedum inſpiciamus ea, quæ inhærent in unoquoque harum *rerum* genere, hoc unum præfati, Cæcilium omiſiſſe quaſdam ex his quinque partibus, ut, verbi gratiâ, eum de Affectibus locum; ſed ſi hæc duo, *nempe* et Sublime et Patheticum,

ὃ ἔδοξεν αὐτῷ πάντῃ συνυπάρχειν τε ἀλλήλοις καὶ συμπεφυκέναι, διαμαρτάνει· καὶ γὰρ πάθη τινὰ διεστῶτα ὕψους καὶ ταπεινὰ εὑρίσκεται, καθάπερ οἶκτοι, λῦπαι, φόβοι· καὶ ἔμπαλιν πολλὰ ὕψη δίχα πάθους, ὡς πρὸς μυρίοις ἄλλοις καὶ τὰ περὶ τοὺς Ἀλωάδας τῷ Ποιητῇ παρατετολμημένα,

> Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν· αὐτὰρ ἐπ' Ὄσσῃ
> Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Καὶ τὸ τούτοις ἔτι μεῖζον ἐπιφερόμενον,

> Καί νύ κεν ἐξετέλεσσαν.——

velut una quædam res, etiam viderentur illi omnino ſecum invicem connata et coexiſtentia eſſe, in errore eſt; etenim quidam Affectus inveniuntur diſtincti à Sublimitate et humiles, velut lamentationes, dolores, metus: et rurſus multa *ſunt* Sublimia ſine Affectu *ullo*, velut (præter innumera alia) etiam illa, quæ de Aloïdis à Poëtâ ſunt audaciâ *felici* dicta,

> *Oſſam Olympo conati ſunt imponere, et Oſſæ*
> *Pelium frondoſum, ut cœlum ſcanſile eſſet.*

Et illud, quod inſuper his majus additum eſt,

> *Et ſane perfeciſſent*, &c.

Παρά γε μὴν τοῖς ῥήτορσι τὰ ἐγκώμια, καὶ τὰ πομπικὰ, καὶ ἐπιδεικτικὰ, τὸν μὲν ὄγκον καὶ τὸ ὑψηλὸν ἐξ ἅπαντος περιέχει, πάθους δὲ χηρεύει κατὰ τὸ πλεῖστον· ὅθεν ἥκιστα τῶν ῥητόρων οἱ περιπαθεῖς ἐγκωμιαστικοὶ, ἢ ἔμπαλιν οἱ ἐπαινετικοὶ περιπαθεῖς. Εἰ δ' αὖ πάλιν ἐξ ὅλου μὴ ἐνόμισεν ὁ Καικίλιος τὸ ἐμπαθὲς εἰς τὰ ὕψη ποτὲ συντελεῖν, καὶ διὰ τοῦτ' οὐχ ἡγήσατο μνήμης ἄξιον, πάνυ διηπάτηται· θαῤῥῶν γὰρ ἀφορισαίμην ἂν, ὡς οὐδὲν οὕτως, ὡς τὸ γενναῖον πάθος, ἔνθα χρὴ, μεγαλήγορον, ὥσπερ ὑπὸ μανίας τινὸς

Apud Rhetores quidem laudationes, et ea quæ ad pompam oſtentationemque componuntur, amplitudinem et Sublimitatem ex omni parte *in ſe* continent, plerumque autem Affectu carent: unde ex Rhetoribus illi, qui in Affectibus *concitandis* valent, minimè ad laudationes facti ſunt; vel rurſus illi, qui in laudando valent, minimè apti ſunt Affectibus *concitandis*. Quòd ſi iterum omnino cenſuit Cæcilius, id quod Patheticum eſt, nihil ad Sublimia conferre, et ſi propterea illud non putavit mentione dignum, prorſus deceptus eſt: fidenter enim affirmaverim nihil tam magnificum eſſe quàm Affectum vehementem, ubi opus eſt, *adhibitum*: cum velut furore aliquo ſpirituque divinitùs ſpiret, et ſcripta

καὶ πνεύματος ἐνθουσιαστικῶς ἐκπνέον, καὶ οἱονεὶ φοιβάζον τοὺς λόγους.

Οὐ μὴν ἀλλ', ἐπεὶ τὴν κρατίστην μοῖραν ἐπέχει τῶν ἄλλων τὸ πρῶτον, λέγω δὲ τὸ μεγαλοφυὲς, χρὴ κἀνταῦθα, εἰ καὶ δωρητὸν τὸ πρᾶγμα μᾶλλον ἢ κτητὸν, ὅμως, καθ' ὅσον οἷόν τε, τὰς ψυχὰς ἀνατρέφειν πρὸς τὰ μεγέθη, καὶ ὥσπερ ἐγκύμονας ἀεὶ ποιεῖν γενναίου παραστήματος. Τίνα, φήσεις, τρόπον; γέγραφά που καὶ ἑτέρωθι, ὅτι τὸ τοιοῦτον ὕψος μεγαλοφροσύνης ἀπήχημα. Ὅθεν καὶ φωνῆς δίχα θαυμάζεταί ποτε ψιλὴ καθ' ἑαυτὴν ἡ ἔννοια δι' αὐτὸ τὸ μεγαλό- Sect. IX.

quaſi plena Phæbo efficiat.

Veruntamen, quoniam primum *genus* (dico autem id quod ex animi magnitudine venit) partem obtinet inter cæteras præſtantiſſimam, oportet etiam hic (ſit licet *hæc* res potius dono *naturæ* accipienda quàm *labore* acquirenda,)tamen,quantum poſſumus, animos noſtros ad Sublimia alere et tanquam gravidos amplitudine *quâdam* nobili ſemper efficere. Quo, dicet *aliquis*, modo? Scripſi in alio etiam loco, quòd hujuſmodi Sublimitas eſt Echo magnitudinis animi: Unde etiam ſine voce admirationi aliquando eſt nudus per ſe ſenſus ob eam ipſam, *quam oſtentat*, magnanimita-

φρον· ὡς ἡ τοῦ Αἴαντος ἐν Νεκυίᾳ σιωπὴ μέγα καὶ παντὸς ὑψηλότερον λόγου. Πρῶτον οὖν τὸ, ἐξ οὗ γίνεται, προϋποτίθεσθαι πάντως ἀναγκαῖον· ὡς ἔχειν δεῖ τὸν ἀληθῆ ῥήτορα μὴ ταπεινὸν φρόνημα καὶ ἀγεννές· οὐδὲ γὰρ οἷόν τε μικρὰ καὶ δουλοπρεπῆ φρονοῦντας καὶ ἐπιτηδεύοντας παρ' ὅλον τὸν βίον θαυμαστόν τι καὶ τοῦ παντὸς αἰῶνος ἐξενεγκεῖν ἄξιον· μεγάλοι δὲ οἱ λόγοι τούτων κατὰ τὸ εἰκὸς, ὧν ἂν ἐμβριθεῖς ὦσιν αἱ ἔννοιαι. Ταύτῃ καὶ εἰς τοὺς μάλιστα φρονηματίας ἐμπίπτει τὰ ὑπερφυᾶ· ὁ γὰρ τῷ Παρμενίωνι φήσαντι, « Ἐγὼ μὲν ἂν ἠρκέσθην, εἰ Ἀλέξανδρος

tem; velut ſilentium Ajacis in *libro, qui inſcribitur* de Manibus, magnum eſt et omni ſermone ſublimius. Primo igitur in loco omnino neceſſarium eſt ante oculos *Lectoris* conſtituere id ex quo naſcitur; *nempe* quòd verus Orator debet habere animum non humilem et abjectum: neque enim fieri poteſt, ut illi, qui per omnem vitam ſuam cogitant curantque parva et ſervilia, proferant aliquid admirandum omnique ætate dignum: Magna vero *ſunt* ſcripta horum *hominum*, uti par eſt, quorum cogitationes ſunt feliciter audaces: Eodem modo etiam ea, quæ maximè Sublimia ſunt, cadunt in illos qui maximè elatis ſunt animis: illud enim, quod Parmenioni dicenti, "Ego quidem contentus eſſem *conditio-*

"ἤμην," "Κἀγὼ νὴ Δία, εἰπὼν, εἰ Παρ-
"μενίων ἤμην," τὸ αὐτοῦ μεγαλόφρον δεί-
κνυσιν· ὡς καὶ τὸ Ὁμήρου ἀφορίζει μεγαλό-
φυες ἐν τῷ

Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ
βαίνει

τὸ ἐπ' οὐρανὸν ἀπὸ γῆς διάστημα· καὶ τοῦτ' ἂν εἴποι τις οὐ μᾶλλον τῆς Ἔριδος, ἢ Ὁμήρου μέτρον. Ὧι ἀνόμοιόν γε τὸ Ἡσιόδειον ἐπὶ τῆς Ἀχλύος, εἴγε Ἡσιόδου καὶ τὴν Ἀσπίδα θετέον,

Τῆς ἐκ μὲν ῥινῶν μύξαι ῥέον·

οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μι-

"*nibus oblatis*, ſi eſſem "Alexander;" *reſpondit Alexander*, dicens, "Et "ego quidem, ſi eſſem "Parmenio," ipſius animi magnitudinem oſtendit: ut etiam in illo, *quod de Diſcordiâ dicit Homerus*,

In cœlo ſtabilivit caput
ſuum et humi graditur,

Homerici ingenii Sublimitatem determinat diſtantia à terrâ ad cœlum; et hanc aliquis dicat non potius menſuram Diſcordiæ quàm Homeri. Cui diſſimile eſt illud Heſiodi de Triſtitiâ, ſi quidem ſtatuendum ſit etiam *poëma illud dictum* Scutum eſſe Heſiodi,

Ejus ex naribus humores fluebant,

Neque enim fecit imaginem terribilem, ſed odio-

σητόν. Ὁ δὲ πῶς μεγεθύνει τὰ δαιμόνια;

Ὅσσον δ' ἠεροειδὲς ἀνὴρ ἴδεν ὀφθαλ-
μοῖσιν,
Ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴ-
νοπα πόντον,
Τόσσον ἐπιθρώσκουσι θεῶν ὑψηχέες
ἵπποι.

Τὴν ὁρμὴν αὐτῶν κοσμικῷ διαστήματι καταμετρεῖ. Τίς οὖν οὐκ ἂν εἰκότως διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους ἐπιφθέγξαιτο, ὅτι, ἂν δὶς ἑξῆς ἐφορμήσωσιν οἱ τῶν θεῶν ἵπποι, οὐκέθ' εὑρήσουσιν ἐν κόσμῳ τόπον; Ὑπερφυᾶ καὶ τὰ ἐπὶ τῆς θεομαχίας φαντάσματα,

ſam. Ille autem *ſc. Homerus* quomodo Sublimia reddit ea, quæ de Diis *fingit?*

Quantum verò aëris per-horizontem-extenſi ſpatium homo videt oculis,
Sedens in ſpeculâ, proſpectans in nigricantem pontum,
Tantum ſaltu conficiunt deorum altiſoni equi.

motum eorum celerem mundi ſpatio metitur; quis igitur non ob excellentiam *hujus* Sublimitatis jure dixerit, ſi bis eodem modo ad ſaltandum ſe concitent Deorum equi, eos non amplius inventuros in mundo locum? Valde Sublimes ſunt etiam illæ de pugnâ Deorum imagines,

Ἀμφὶ δ᾽ ἐσάλπιγξεν μέγας οὐρανὸς, Οὔλυμπός τε,
Ἔδδεισεν δ᾽ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς·
Δείσας δ᾽ ἐκ θρόνου ἆλτο, καὶ ἴαχε, μή οἱ ἔπειτα
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη,
Σμερδαλέ᾽, εὐρώεντα, τά τε στυγέουσι θεοί περ.

Ἐπιβλέπεις, ἑταῖρε, ὡς, ἀναῤῥηγνυμένης μὲν ἐκ βάθρων γῆς, αὐτοῦ δὲ γυμνουμένου ταρτάρου, ἀνατροπὴν δὲ ὅλου καὶ διάστασιν τοῦ

Circum autem inſonuit magnum cælum Olympuſque,
Timuit etiam ſubtus rex inferorum Pluto:
Territuſque ſolio exiliit, et exclamavit, nè ei deſuper
Terram reſcinderet Neptunas quaſſator-terræ;
Domuſque mortalibus et immortalibus apparerent
Viſu terribiles, ſitu ſentæ, quaſque horrent ipſi Dii.

Videſne, amice, quomodo, diſruptâ quidem ex *ſuis* ſedibus terrâ, ipſoque nudato Tartaro, et toto mundo ſubverſo diſ-

κόσμου λαμβάνοντος, πάνθ' ἅμα, οὐρανὸς, ᾅδης, τὰ θνητὰ, τὰ ἀθάνατα, ἅμα τῇ τότε συμπολεμοῦ καὶ συγκινδυνεύει μάχῃ. Ἀλλὰ ταῦτα φοβερὰ μὲν, πλὴν ἄλλως εἰ μὴ κατ' ἀλληγορίαν λαμβάνοιτο, παντάπασιν ἄθεα, καὶ οὐ σώζοντα τὸ πρέπον. Ὅμηρος γάρ μοι δοκεῖ, παραδιδοὺς, τραύματα θεῶν, στάσεις, τιμωρίας, δάκρυα, δεσμὰ, πάθη πάμφυρτα, τοὺς μὲν ἐπὶ τῶν Ἰλιακῶν ἀνθρώπους, ὅσον ἐπὶ τῇ δυνάμει, θεοὺς πεποιηκέναι, τοὺς θεοὺς δὲ ἀνθρώπους. Ἀλλ' ἡμῖν μὲν δυσδαιμονοῦσιν ἀπόκειται λιμὴν κακῶν, ὁ θάνατος· τῶν θεῶν δ' οὐ τὴν φύσιν, ἀλλὰ τὴν ἀτυχίαν ἐποίησεν αἰώνιον. Πολὺ

ſipatoque, omnia ſimul, Cœlum, Orcus, mortalia, immortalia, cum pugnâ, *quæ* tunc *fuit*, conflictantur et periculum unâ ſubeunt? Sed hæc, *quæ ſunt* terribilia quidem, niſi allegoricè accipiantur, omnino ſunt impia, nec ſervantia decorum: Homerus enim mihi videtur, cum *literis* tradit Deorum vulnera, diſſidia, ultiones, lacrymas, vincula, eaque omnis generis, quæ patiuntur, mala, Homines, qui rebus Iliacis *interfuerunt*, Deos, quantum potuerit, feciſſe, Deos vero Homines. Sed nos quidem, *ſi* infelices *ſimus*, manet mors, malorum portus: Deorum verò non naturam *ſolùm*, ſed infortunium fecit æternum. Multò

δὲ τῶν περὶ τὴν θεομαχίαν ἀμείνω τὰ, ὅσα ἄχραντόν τι καὶ μέγα τὸ δαιμόνιον, ὡς ἀληθῶς, καὶ ἄκρατον παρίστησιν, οἷα (πολλοῖς δὲ πρὸ ἡμῶν ὁ τόπος ἐξείργασται) τὰ ἐπὶ τοῦ Ποσειδῶνος,

— Τρέμε δ' οὔρεα μακρὰ, καὶ ὕλη,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν,
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
Πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα.

autem meliora iis, quæ de pugnis Deorum *ab illo dicuntur*, ſunt illa, quæcunque repræſentant Numen, ut revera *eſt*, intaminatum, et magnum, et purum: qualia *ſunt* (à multis autem ante nos hic locus tractatus eſt) illa, quæ de Neptuno *dicuntur*,

— Tremebant autem montes ſpatioſi, et ſylva,
Et vertices, et Trojanorum urbs, et naves Achivorum,
Sub pedibus immortalibus Neptuni incedentis:
Tendebatque ire per undas: exultabant autem balenæ ſub ipſo
Undique è latebris, neque ignorabant Regem.

Γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δὲ πέτοντο ——

Ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυχὼν ἀνήρ, ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν ἐχώρησε, κἀξέφηνεν, εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων, "Εἶπεν ὁ "θεὸς," φησί· τί; "γενέσθω φῶς, καὶ ἐγέ-"νετο· γενέσθω γῆ, καὶ ἐγένετο." Οὐκ ὀχληρὸς ἂν ἴσως, ἑταῖρε, δόξαιμι, ἓν ἔτι τοῦ Ποιητοῦ, καὶ τῶν ἀνθρωπίνων παρατιθέμενος, τοῦ μαθεῖν χάριν, ὡς εἰς τὰ ἡρωϊκὰ μεγέθη συνεμβαίνειν ἐθίζει. Ἀχλὺς ἄφνω καὶ νὺξ ἄπειρος αὐτῷ τὴν τῶν Ἑλλήνων ἐπέχει μάχην· ἔνθα δὴ ὁ Αἴας ἀμηχανῶν,

Cum *lætitiâ etiam mare ſe dividebat; hi verò volabant* &c.

Ad hunc modum etiam ille Judæorum legiſlator, vir minimè vulgaris, poſtquam potentiam Numinis pro dignitate ejus mente concepit, etiam declaravit; ſtatim in principio legum *ſuarum* ſcribens, "Dixit Deus," inquit: quid? "fit lux, "et fuit; fit terra, et "fuit." Non moleſtus fortaſſe videar, amice, ſi unum amplius *locum* Poetæ *ſc. Homeri* de iis, quæ ad homines pertinent, proponam, ut diſcas quomodo aſſuefaciat *nos* ſecum unà ingredi in Sublimia heroïca. Caligo repente et nox ignava apud illum inhibet pugnam Græcorum: hic Ajax incertus conſilii,

Ζεῦ πάτερ, (φησὶν) ἀλλὰ σὺ ῥῦσαι
ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν
ἰδέσθαι.
Ἐν δὲ φάει καὶ ὄλεσσον.

Ἔστιν ὡς ἀληθῶς τὸ πάθος Αἴαντος· οὐ γὰρ ζῆν εὔχεται, (ἦν γὰρ τὸ αἴτημα τοῦ ἥρωος ταπεινότερον) ἀλλ' ἐπειδὴ ἐν ἀπράκτῳ σκότει τὴν ἀνδρίαν εἰς οὐδὲν γενναῖον εἶχε διαθέσθαι, διὰ ταῦτ' ἀγανακτῶν, ὅτι πρὸς τὴν μάχην ἀργεῖ, φῶς ὅτι τάχιστα αἰτεῖται, ὡς πάντως τῆς ἀρετῆς εὑρήσων ἐντάφιον ἄξιον, κἂν αὐτῷ Ζεὺς ἀντιτάττηται. Ἀλλὰ γὰρ Ὅμηρος μὲν ἐνθάδε οὔριος συνεμπνεῖ τοῖς

At tu Jupiter, (inquit,)
libera à caligine filios
Achivorum:
Et fac ſerenitatem, da-
que oculis videre;
In luce verò vel perde.

Eſt revera affectus Ajacis; non enim optat vivere, (hæc enim petitio eſſet abjectior quàm decet heroa) ſed, cum in tenebris ignavis non potuit *ſuâ* fortitudine ad generoſum ullum facinus uti, proptereà indignans ſe ad pugnam inutilem eſſe, lucem quàm primum *oriri* precatur, tanquam omnino *in eâ* inventurus funus dignum virtute *ſuâ*, etiam ſi Jupiter ſe illi opponat. Sed enim Homerus hîc, *velut* ventus ſecundus, unà adſpirat

ἀγῶσι, καὶ οὐκ ἄλλό τι αὐτὸς πέπονθεν, ἢ

> Μαίνεται, ὡς ὅτ' Ἄρης ἐγχέσπαλος,
> ἢ ὀλοὸν πῦρ
> Οὔρεσι μαίνηται βαθέης ἐνὶ τάρφεσιν
> ὕλης·
> Ἀφλοισμὸς δὲ περὶ στόμα γίνεται.

Δείκνυσι δ' ὅμως διὰ τῆς Ὀδυσσείας (καὶ γὰρ ταῦτα πολλῶν ἕνεκα προσεπιθεωρητέον,) ὅτι μεγάλης φύσεως ὑποφερομένης ἤδη ἴδιόν ἐστιν ἐν γήρᾳ τὸ φιλόμυθον. Δῆλος γὰρ ἐκ πολλῶν τε ἄλλων συντεθεικὼς ταύτην δευτέραν τὴν ὑπόθεσιν, ἀτὰρ δὴ κἀκ τοῦ λείψανα τῶν Ἰλιακῶν παθημάτων διὰ τῆς

certaminibus, et non aliud ipſe paſſus eſt *quàm heroës*, vel *(ut ejus verbis utar)*

> *Furit, ut cum Mars*
> *haſtam vibrans, aut*
> *ignis pernicioſus*
> *In montibus furit, pro-*
> *fundæ in denſis re-*
> *ceſſibus Sylvæ:*
> *Spuma autem eſt circum*
> *os ejus.*

Oſtendit tamen in Odyſſeâ (etenim hæc, *quæ ſequuntur*, pluribus de cauſis ſunt obſervanda,) magni ingenii, cum jam declinet, proprium eſſe in ſenectute amorem fabularum. Illum enim compoſuiſſe hoc argumentum ſecundo in loco conſtat ex multis aliis *rebus*, ſed et ex eo quòd reliquias Iliacorum labo-

Ὀδυσσείας, ὡς ἐπεισόδιά τινα τοῦ Τρωϊκοῦ πολέμου, προσεπεισφέρειν· καὶ νὴ Δί' ἐκ τοῦ τὰς ὀλοφύρσεις καὶ τοὺς οἴκτους, ὡς πάλαι που προεγνωσμένους τοῖς ἥρωσιν, ἐνταῦθα προσαποδιδόναι· οὐ γὰρ ἀλλ' ἢ τῆς Ἰλιάδος ἐπίλογός ἐστιν ἡ Ὀδύσσεια.

Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεὺς,
Ἔνθα δὲ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος·
Ἔνθα δ' ἐμὸς φίλος υἱός.

Ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας, οἶμαι, τῆς μὲν Ἰλιάδος, γραφομένης ἐν ἀκμῇ πνεύματος, ὅλον τὸ σωμάτιον δραματικὸν ὑπεστή-

rum in Odyſſeâ, tanquam Trojani belli partes adventitias, adduxerit; et mehercule ex eo quòd lamentationes et dolores, ut quos olim anteà cognôſſent heroës, illic enarraverit: Odyſſea enim nihil aliud eſt quàm epilogus Iliadis:

Illic quidem Ajax jacet martius, illic etiam Achilles,
Illic verò Patroclus, diis ſimilis conſiliarius:
Illic etiam meus carus filius.

Ex eâdem cauſâ, opinor, totum corpuſculum Iliadis, quæ ſcripta fuit in vigore *ejus* ſpiritûs, ac-

σατο καὶ ἐναγώνιον· τῆς δὲ Ὀδυσσείας τὸ
πλέον διηγηματικόν, ὅπερ ἴδιον γήρως. Ὅθεν
ἐν τῇ Ὀδυσσείᾳ παρεικάσαι τις ἂν κατα-
δυομένῳ τὸν Ὅμηρον ἡλίῳ, οὗ δίχα τῆς σφο-
δρότητος παραμένει τὸ μέγεθος· οὐ γὰρ ἔτι
τοῖς Ἰλιακοῖς ἐκείνοις ποιήμασιν ἴσον ἐν-
ταῦθα σώζει τὸν τόνον, οὐδ' ἐξωμαλισμένα
τὰ ὕψη καὶ ἱζήματα μηδαμοῦ λαμβάνοντα,
οὐδὲ τὴν πρόχυσιν ὁμοίαν τῶν ἐπαλλήλων πα-
θῶν, οὐδὲ τὸ ἀγχίστροφον καὶ πολιτικόν, καὶ
ταῖς ἐκ τῆς ἀληθείας φαντασίαις καταπε-
πυκνωμένον· ἀλλ', οἷον ὑποχωροῦντος εἰς
ἑαυτὸν ὠκεανοῦ καὶ περὶ τὰ ἴδια μέτρα ἐρη-

tione et certaminibus plenum fecit: Odyſſeæ autem *corpuſculum* maximâ ex parte narratione plenum, quod proprium eſt ſenectutis. Unde in Odyſſeâ comparare poteſt aliquis Homerum ſoli occidenti, cujus ſine vehementiâ *ardoris* permanet magnitudo: neque enim amplius hîc conſervat intentionem *animi* parem poëmatibus illis Iliacis, neque Sublimitates ubique *(uti ibi)* æquales et nuſquam *quaſi* ſubſidendo ſe remittentes, neque idem illud ſibi ſemper ſupervenientium affectuum flumen, neque verſatile *illud dicendi genus* et concertatorium; Viſionibus à veritate *ductis* cumulatè repletum: ſed, velut oceani recedentis in ſe et à ſuis finibus relicti, *ita Homeri in*

μεμβλύς, τὸ λοιπὸν φαίνονται τοῦ μεγέθους ἀμπώτιδες κἀν ταῖς μυθώδεσι καὶ ἀπίστοις πλάναις. Λέγων δὲ ταῦτ᾽ οὐκ ἐπιλέλησμαι τῶν ἐν τῇ Ὀδυσσείᾳ χειμώνων, καὶ τῶν περὶ τὸν Κύκλωπα, καί τινων ἄλλων· ἀλλὰ γῆρας διηγοῦμαι, γῆρας δ᾽ ὅμως Ὁμήρου. Πλὴν ἐν ἅπασι τούτοις ἑξῆς τοῦ πρακτικοῦ κρατεῖ τὸ μυθικόν. Παρεξέβην δ᾽ εἰς ταῦθ᾽, ὡς ἔφην, ἵνα δείξαιμι, ὡς εἰς λῆρον ἐνίοτε ῥᾷστον κατὰ τὴν ἀπακμὴν τὰ μεγαλοφυῆ παρατρέπεται· οἷα τὰ περὶ τὸν ἀσκὸν, καὶ τοὺς ἐκ Κίρκης συοφορβουμένους (οὓς ὁ Ζωΐλος ἔφη χοιρίδια κλαίοντα,) καὶ τὸν ὑπὸ τῶν πελειάδων

Odyſſeâ deinceps apparent Sublimitatis receſſus etiam in illis fabuloſis et incredibilibus divagationibus. Cum vero hæc dico, non oblitus ſum earum, *quæ* in Odyſſeâ *deſcribuntur*, tempeſtatum, et eorum quæ ad Cyclopem attinent, et aliorum quorundam: ſed *hæc* appello ſenectutem, ſenectutem tamen Homeri. Imò in omnibus his et ſingulis plus eſt fabulæ quàm actionis. Digreſſus ſum verò ad hæc, ut dixi, oſtendendi cauſâ, quàm facillimè Sublimia ingenia, cum vigor *eorum* ſe remiſerit, ad nugas nonnunquam deflectuntur; cujuſmodi ſunt ea, quæ *finguntur* de utre; et de iis, qui porcorum more à Circe paſti erant, (quos Zoïlus vocavit porcellos flentes;) et de Jove, pulli inſtar,

ὡς νεοσσὸν περιτρεφόμενον Δία, καὶ τὸν ἐπὶ τοῦ ναυαγίου δέχ' ἡμέρας ἄσιτον, τά τε περὶ τὴν μνηστηροφονίαν ἀπίθανα· τί γὰρ ἂν ἄλλο φήσαιμεν ταῦτα, ἢ τῷ ὄντι τοῦ Διὸς ἐνύπνια; Δευτέρου δὲ ἕνεκα προσιστορείσθω τὰ κατὰ τὴν Ὀδύσσειαν, ὅπως ᾖ σοι γνώριμον, ὡς ἡ ἀπακμὴ τοῦ πάθους ἐν τοῖς μεγάλοις συγγραφεῦσι καὶ ποιηταῖς εἰς ἦθος ἐκλύεται· τοιαῦτα γάρ που τὰ περὶ τὴν τοῦ Ὀδυσσέως ἠθικῶς αὐτῷ βιολογούμενα οἰκίαν, οἱονεὶ κωμῳδία τίς ἐστιν ἠθολογουμένη.

Sect. X. Φέρε νῦν, εἴ τι καὶ ἕτερον ἔχοιμεν ὑψηλοὺς ποιεῖν τοὺς λόγους δυνάμενον, ἐπισκεψώ-

à columbis nutrito; et de illo, qui in naufragio inediam decem dierum ſuſtinuit; et ea, quæ de procorum cæde *finguntur*, incredibilia: quid enim aliud poſſimus hæc dicere, quàm reverà Jovis ſomnia? Secundam autem ob cauſam memorentur hæc de Odyſſeâ; *nempe*, ut tibi notum ſit, quomodo remiſſio vigoris Affectuum in magnis proſæ ſcriptoribus et poëtis in moratum dicendi genus diſſolvatur: talia enim, quæ de Ulyſſis domo moratè ab illo vitam *procorum* deſcribentia narrantur, ſunt inſtar comœdiæ cujuſdam mores hominum exprimentis.

Agedum nunc, videamus ſi quid aliud habeamus, quod poſſit ſcripta

μεθα. Οὐκοῦν, ἐπειδὴ πᾶσι τοῖς πράγμασι φύσει συνεδρεύει τινὰ μόρια ταῖς ὕλαις συνυπάρχοντα, ἐξ ἀνάγκης γένοιτ᾽ ἂν ἡμῖν ὕψους αἴτιον, τὸ τῶν ἐμφερομένων ἐκλέγειν ἀεὶ τὰ καιριώτατα, καὶ ταῦτα τῇ πρὸς ἄλληλα ἐπισυνθέσει καθάπερ ἕν τι σῶμα ποιεῖν δύνασθαι· [ὃ μὲν γὰρ τῇ ἐκλογῇ τὸν ἀκροατὴν τῶν λημμάτων, ὃ δὲ τῇ πυκνώσει τῶν ἐκλελεγμένων προσάγεται] Οἷον ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων, καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. Ποῦ δὲ ταύτην τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε

efficere Sublimia. Idcirco, cum in omnibus rebus naturaliter inſident quædam particulæ cum ipſâ materiâ unâ natæ, neceſſariò *hoc* nobis eſſet Sublimitatis cauſa, ſi poſſemus ſemper eligere præcipua ex iis, quæ inde exoriuntur, et hæc conjunctione inter ſe factâ quaſi unum quoddam corpus efficere: partim enim *Sublimitas* efficitur delectu circumſtantiarum ſummarum, partim autem conſtipatione electarum. Qualiter Sappho eas, quæ accidunt furoribus amatoriis, perpeſſiones ex circumſtantiis, et ex ipſâ veritate, undique ducit: Ubi autem hanc excellentiam oſtendit? *nempe* quando egregia eſt in eligendis

τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι ϗ εἰς ἄλληλα συνδῆσαι.

Φαίνεταί μοι κλεῦος ἴσος θεοῖσιν
Ἔμμεν᾽ ὤνηρ, ὅστις ἐναντίος τοι
Ἰσδάνει, ϗ πλασίον ἀδὺ φωνεύ-
σας ὑπακούει.
Καὶ γελαΐς δ᾽ ἱμερόεν· τό μοι 'μὰν
Καρδίαν ἐν στήθεσιν ἐπτόασεν.
Ὡς γὰρ εἴδω σε, βροχέως με φωνᾶς
Οὐδὲν ἔτ᾽ ἴκει.
Ἀλλὰ καμμὲν γλῶσσ᾽ ἔαγε, ἂν δὲ
λεπτὸν
Αὐτίκα χρῷ πῦρ ὑποδεδρόμακεν·
Ὀππάτεσσιν δ᾽ οὐδὲν ὄρημι, βομβεῦσ᾽
ἐν δ᾽ ἀκοαί μοι.

præcipuis earum *circumſtantiarum* altiſſimiſque, et in iis inter ſe connectendis:

Videtur mihi ille æqualis
Diis
Eſſe vir, qui oppoſitus
tibi
Sedet, et propè te dulce
loquentem audit.
Et rides amabiliter; quæ
res mihi
Cor in pectoribus tremere fecit:
Cum enim videam te, repentè ad me vocis
Nihil amplius venit;
Sed lingua quidem fracta
eſt: ſubtiliſque
Statim cutem ignis ſubiit,
Et oculis nihil video, tinniunt et aures mihi:

Καδδ' ἱδρὼς ψυχρὸς χέεται, τρόμος δὲ
Πᾶσαν ἀγρεῖ, χλωροτέρα δὲ ποίας
Ἐμμί· τεθνάκην δ' ὀλίγω 'πιδεῦσα
Φαίνομαι ἄπνους.

Ἀλλὰ πᾶν τολματὸν, ἐπεὶ πένητα —

Οὐ θαυμάζεις, ὡς ὑπ' αὐτὸ τὴν ψυχὴν, τὸ σῶμα, τὰς ἀκοὰς, τὴν γλῶσσαν, τὰς ὄψεις, τὴν χρόαν, πάνθ', ὡς ἀλλότρια, διοιχόμενα ἐπιζητεῖ; καὶ καθ' ὑπεναντιώσεις ἅμα ψύχεται, καίεται, ἀλογιστεῖ, φρονεῖ; ἢ γὰρ φοβεῖται, ἢ παρ' ὀλίγον τέθνηκεν, ἵνα μὴ ἕν τι περὶ αὐτὴν πάθος φαίνηται, παθῶν δὲ σύνοδος. Πάντα μὲν τὰ τοιαῦτα γίνεται περὶ

Et ſudor gelidus manat, tremorque
Totam occupat, pallidiorque herbâ
Sum, et a moriendo parum abſore
Videor examinis:
Sed tamen *omne* eſt *audendum, quoniam pauperem* &c.

Nonne miraris, quomodo ſub idem tempus animam, corpus, aures, linguam, oculos, colorem, omnia hæc dilapſa, velut aliena *ab ipſâ eſſent*, requirat; et *quomodo* per vices *ſibi* oppoſitas ſimul friget, uritur, ratione caret, ſapienter ſe habet? vel enim exanimata, vel prope mortua eſt, adeò ut non unus aliquis Affectus in ipſâ appareat, ſed Affectuum cœtus. Omnia quidem hujuſ-

τοὺς ἐρῶντας· ἡ λῆψις δ', ὡς ἔφην, τῶν ἄκρων, καὶ ἡ εἰς ταυτὸ συναίρεσις ἀπειργάσατο τὴν ἐξοχήν· ὅνπερ, οἶμαι, καὶ ἐπὶ τῶν χειμώνων τρόπον ὁ Ποιητὴς ἐκλαμβάνει τῶν παρακολουθούντων τὰ χαλεπώτατα. Ὁ μὲν γὰρ τὰ Ἀριμάσπεια ποιήσας ἐκεῖνα οἴεται δεινά,

Θαῦμ' ἡμῖν καὶ τοῦτο μέγα φρεσὶν ἡμετέρῃσιν.
Ἄνδρες ὕδωρ ναίουσιν ἀπὸ χθονὸς ἐν πελάγεσσι·
Δύστηνοί τινες εἰσιν· ἔχουσι γὰρ ἔργα πονηρά·
Ὄμματ' ἐν ἄστροισι, ψυχὴν δ' ἐν πόντῳ ἔχουσιν.

modi amantibus eveniunt; ſed delectus (ut dixi) ſummarum *circumſtantiarum* et earum conſociatio in unum efformavit Sublimitatem. Quo more, opinor, et in tempeſtatibus *deſcribendis ille* Poeta, ſc. *Homerus*, excerpit maximè terribiles circumſtantias: Ille enim, qui fecit *poëma dictum* Arimaſpia, hæc cenſet grandia eſſe,

Admirationi nobis hoc magnæ fuit, et animis noſtris.
Homines aquam incolunt procul à terrâ in mari:
Infelix genus ſunt hominum; ſubeunt enim labores improbos:
Oculos in aſtris fixos, animam verò in ponto habent.

Ἦπȣ πολλὰ θεοῖσι φίλας ἀνὰ χεῖρας
ἔχοντες
Εὔχονται σπλάγχνοισι κακῶς ἀναβαλ-
λομένοισι.

Παντὶ μὴν, οἶμαι, δῆλον, ὡς πλέον ἄν-
θος ἔχει τὰ λεγόμενα ἢ δέος. Ὁ δὲ
Ὅμηρος πῶς; ἓν γὰρ ἀπὸ πολλῶν λε-
γέσθω·

Ἐν δ᾽ ἔπεσ᾽, ὡς ὅτε κῦμα θοῇ ἐν νηὶ
πέσησι
Λάβρον ὑπαὶ νεφέων, ἀνεμοτρεφές· ἡ δέ
τε πᾶσα
Ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς
ἀήτης

Sanè multum Diis ſuas
manus tendentes
Precantur viſceribus tur-
piter rejectis.

Unicuique, puto, mani-
feſtum eſt, hæc,quæ dicta
ſunt ſuaviter, potius ha-
bere floſculum, *quàm Sub-
limitatem.* Homerus au-
tem quomodo *hanc rem
depingit?* unum enim *ex-
emplum* de multis profe-
ratur:

Incidit autem, veluti cum
fluctus velocem in na-
vem ingruerit
Rapidus à nubibus, ven-
tis auctus: hæc ete-
nim tota
Spumâ operta eſt, venti
verò gravis flatus

Ἱστῷ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα
ναῦται
Δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο
φέρονται.

Ἐπεχείρησε καὶ ὁ Ἄρατος τὸ αὐτὸ τοῦτο μετενεγκεῖν,

—ὀλίγον δὲ διὰ ξύλον ἄϊδ᾽ ἐρύκει.

Πλὴν μικρὸν αὐτὸ καὶ γλαφυρὸν ἐποίησεν, ἀντὶ φοβεροῦ· ἔτι δὲ παρώρισε τὸν κίνδυνον, εἰπὼν, « ξύλον ἄϊδ᾽ ἐρύκει. » Ὁ δὲ Ποιητὴς οὐκ εἰς ἅπαξ παρορίζει τὸ δεινὸν, ἀλλὰ τοὺς ἀεὶ καὶ μονονουχὶ κατὰ πᾶν κῦμα πολλάκις ἀπολλυμένους εἰκονογραφεῖ· καὶ μὴν τὰς προθέσεις, ἀσυνθέτους οὔσας, συναναγκάσας

In velò fremit, trepidantque animo nautæ
Timentes, parvo enim ſpatio à morte ſubvehuntur.

Tentavit et Aratus hoc idem *ab Homero ad ſuum poëma* transferre,

—parvum autem lignum prohibet mortem.

Sed exile hoc fecit et venuſtum vice terribilis: prætereà terminos periculo conſtituit dicendo, *lignum prohibet mortem*: ergo arcet. Ille verò Poëta ſc. *Homerus* ne ſemel terminos conſtituit ei; quod terribile eſt; ſed repræſentat *homines* ſemper et pænè ad ſingulos fluctus ſæpe pereuntes; Et quidem præpoſitiones, quæ conjungi non poſſunt, cogens contra *ipſarum* naturam, alte-

παρὰ φύσιν, καὶ εἰς ἀλλήλας συμβιασάμενος, “ὑπὲκ θανάτοιο,” τῷ μὲν συνεμπίπτοντι πάθει τὸ ἔπος ὁμοίως ἐβασάνισεν· τῇ δὲ τοῦ ἔπους συνθλίψει τὸ πάθος ἄκρως ἀπεπλάσατο, καὶ μονονοὐκ ἐνετύπωσε τῇ λέξει τοῦ κινδύνου τὸ ἰδίωμα, “ὑπὲκ θανάτοιο φέρονται.” Οὐκ ἄλλως ὁ Ἀρχίλοχος ἐπὶ τοῦ ναυαγίου, καὶ ἐπὶ τῇ προσαγγελίᾳ ὁ Δημοσθένης, “Ἑσπέρα μὲν γὰρ ἦν —,” φησίν. Ἀλλὰ τὰς ἐξοχὰς (ὡς ἂν εἴποι τις) ἀριστίνδην ἐκκαθήραντες ἐπισυνέθηκαν, οὐδὲν φλοιῶδες, ἢ ἄσεμνον, ἢ σχολικὸν ἐγκαταπίπλοντες διὰ μέσου. Λυμαίνεται γὰρ ταῦτα τὸ ὅλον, ὡσανεὶ ψήγματα ἢ ἀραιώματα,

ramque in alteram vi urgens, ὑπ' ἐκ θανάτοιο, tormento affecit verſum ad ſimilitudinem incidentis *naufragis* tempeſtatis; et violentiâ verſui adhibitâ, id, quod *in tempeſtate* patiuntur, magnificè effinxit, et tantum non impreſſit dictioni *ipſam* periculi naturam, ὑπ' ἐκ θανάτοιο φέρονται. Non aliter Archilochus in naufragio *fecit*, et Demoſthenes in nuntii expoſitione: *Erat enim diei veſpera* &c. inquit. Sed præcipuas *circumſtantias*, cum optimates (ſi ita loqui liceat) eduxerint, connectebant, nihil futile, aut vile, aut è ſcholâ petitum in medio infercientes: Hæc enim, veluti ramenta aut fruſtula *lapidum*, omnino lædunt ea, quæ efficiunt ut

ἐμποιοῦντα μεγέθη συνοικονομούμενα τῇ τε πρὸς ἄλληλα σχέσει συντετειχισμένα.

Σύνεδρός ἐστι ταῖς προεκκειμέναις ἀρετὴ, καὶ ἣν καλοῦσιν Αὔξησιν· ὅταν δεχομένων τῶν πραγμάτων καὶ ἀγώνων κατὰ περιόδους ἀρχάς τε πολλὰς καὶ ἀναπαύλας, ἕτερα ἑτέροις ἐπεισκυκλούμενα μεγέθη συνεχῶς ἐπεισάγηται κατ' ἐπίβασιν. Τοῦτο δὲ εἴτε διὰ τοπηγορίαν, εἴτε δείνωσιν, ἢ πραγμάτων ἢ κατασκευῶν ἐπίρρωσιν, εἴτ' ἐποικονομίαν ἔργων ἢ παθῶν, (μυρίαι γὰρ ἰδέαι τῶν αὐξήσεων) γίνοιτο, χρὴ γινώσκειν ὅμως τὸν ῥήτορα, ὡς οὐδὲν ἂν τούτων καθ' αὑτὸ συσταίη χωρὶς

Sublimitates ſint unà diſpoſitæ, et mutuâ inter ſe affectione conſtructæ.

Vicina eſt etiam iis, quas jam tractavimus, virtus, et quam vocant Incrementum ; *ſcilicet* cum (admittentibus Rebus et Contentionibus multa initia multaſque clauſulas in periodis) illa, quæ *per ſe* magna ſunt, alia aliis ingeſta, continuâ ſerie inſurgant aſcendendo. Hoc autem ſive per *communis* loci tractationem *fiat*, ſive per exaggerationem, vel probationum corroborationem, ſive per factorum aut affectuum alterius poſt alterum diſpoſitionem (innumera enim genera poſſunt eſſe incrementorum,) oportet tamen oratorem cognoſcere, quòd nihil ex his per ſe ſine Sublimitate conſtituat *aliquid* per-

ὕψους τέλειον, πλὴν εἰ μὴ ἐν οἴκτοις ἄρα νὴ Δία, ἢ ἐν εὐτελισμοῖς. Τῶν δ' ἄλλων αὐξητικῶν ὅτου περ ἂν τὸ ὑψηλὸν ἀφέλῃς, ὡς ψυχὴν ἐξαιρήσεις σώματος· εὐθὺς γὰρ ἀτονεῖ καὶ κενοῦται τὸ ἔμπρακτον αὐτῶν, μὴ τοῖς ὕψεσι συνεπιρρωννύμενον. Ἡ, μέντοι διαφέρει τοῦ ἀρτίως εἰρημένου τὰ νῦν παραγγελλόμενα, (περιγραφὴ γάρ τις ἦν ἐκεῖνο τῶν ἄκρων λημμάτων, καὶ εἰς ἑνότητα σύνταξις,) καὶ τίνι καθόλου τῶν αὐξήσεων παραλλάττει τὰ ὕψη, τῆς σαφηνείας αὐτῆς ἕνεκα συντόμως διοριστέον.

Ὁ μὲν οὖν τῶν τεχνογράφων ὅρος ἐμοίγ' Sect. XII.

fectum, niſi in miſerationibus *movendis* mehercule, aut in rebus extenuandis. Cæterarum verò rerum Incrementum facientium cuicunque id, quod Sublime eſt, detraxeris, detrahes tanquam animam corpori; ſtatim enim ſe remittit et evaneſcit id, quod efficax in iis eſt, cum non ſit ſuffultum Sublimitatibus. Quomodo ſanè differant ab illo, quod nuper diximus, hæc de quibus nunc præceptum damus, (illud enim erat delineatio quædam ſummarum circumſtantiarum et in unum collocatio;) et quomodo in univerſum Sublimia diſcrepent ab Incrementis, breviter, ut res clariùs percipi poſſit, definitione exponendum eſt.

Definitio igitur Scrip-

οὐκ ἀρεστός. Αὔξησίς ἐστι, φασὶ, λόγος μέγεθος περιτιθεὶς τοῖς ὑποκειμένοις. Δύναται γὰρ ἀμέλει καὶ ὕψους, καὶ πάθους, καὶ τρόπων εἶναι κοινὸς οὗτος ὁ ὅρος, ἐπειδὴ κἀκεῖνα τῷ λόγῳ περιτίθησι ποιόν τι μέγεθος. Ἐμοὶ δὲ φαίνεται ταῦτα ἀλλήλων παραλλάττειν, ᾗ κεῖται τὸ μὲν ὕψος ἐν διάρματι, ἡ δ᾽ αὔξησις καὶ ἐν πλήθει· διόπερ ἐκεῖνο μὲν κἀν νοήματι ἑνὶ πολλάκις, ἡ δὲ πάντως μετὰ ποσότητος καὶ περιουσίας τινὸς ὑφίσταται. Καὶ ἔστιν ἡ αὔξησις, ὡς τύπῳ περιλαβεῖν, συμπλήρωσις ἀπὸ πάντων τῶν ἐμφερομένων τοῖς πράγμασι μορίων καὶ τόπων, ἰσχυροποιοῦσα

torum Artis mihi non placet : Incrementum eſt, inquiunt, oratio ſubjectam materiam magnitudine veſtiens. Hæc enim poteſt æquè eſſe communis definitio et Sublimitatis et Affectus et Troporum, quoniam et hæ res orationem veſtiunt certâ quâdam magnitudine: Hæc autem mihi videntur inter ſe diſcrepare in eo, quod Sublimitas quidem conſiſtat in elatione *orationis*, Incrementum autem etiam in multitudine : quare illa quidem ſæpe extat etiam in uno ſenſu, hoc autem ſemper cum abundantiâ quâdam et copiâ. Et incrementum (ut *id* definiendo exprimam) eſt oratio completa omnibus, quæ in rebus continentur, particulis ac locis ; addens ei,

τῇ ἐπιμονῇ τὸ κατεσκευασμένον· ταύτῃ τῆς πίστεως διεστῶσα, ὅτι ἡ μὲν τὸ ζητούμενον ἀποδείκνυσιν, * * * * * * * πλουσιώτατα, καθάπερ τι πέλαγος, ὡς ἀναπεπταμένον κέχυται πολλαχῇ μέγεθος. Ὅθεν, οἶμαι, κατὰ λόγον ὁ μὲν ῥήτωρ, ἅτε παθητικώτερος, πολὺ τὸ διάπυρον ἔχει, καὶ θυμικῶς ἐκφλεγόμενον· ὁ δὲ, καθεστὼς ἐν ὄγκῳ καὶ μεγαλοπρεπεῖ σεμνότητι, οὐκ ἔψυκται μὲν, ἀλλ' οὐχ οὕτως ἐπέστραπται. Οὐ κατ' ἄλλα δέ τινα ἢ ταῦτα, ἐμοὶ δοκεῖ, φίλτατε Τερεντιανὲ, (λέγω δὲ, εἰ καὶ ἡμῖν ὡς Ἑλλη-

quod probatur, vim diutius inhærendo: in hoc differens à Probatione, quòd hæc demonſtrat eam rem de quâ quæſtio inſtituitur, * * * * * * * abundantiſſimè, velut mare quoddam paſſim in latè patentem (*Plato*) effuſus eſt magnitudinem. Unde, puto, in oratione Rhetor hic, *ſc. Demoſthenes*, ut *qui* in Affectibus commovendis potentior *eſt*, multum habet inflammatum, et quaſi irâ accenſum: ille autem (*ſc. Plato*) elationem et magnificam gravitatem habens, non quidem frigidus fuit, ſed non pari modo *fulminis inſtar* contortus eſt. Non autem in aliis quàm his rebus, ut mihi videtur, chariſſime Terentiane, (addo autem, ſi nos etiam, utpote Græci, poſ-

σιν ἐφεῖταί τι γινώσκειν) καὶ ὁ Κικέρων τοῦ Δημοσθένους ἐν τοῖς μεγέθεσι παραλλάττει. Ὁ μὲν γὰρ ἐν ὕψει τὸ πλέον ἀποτόμῳ, ὁ δὲ Κικέρων ἐν χύσει· καὶ ὁ μὲν ἡμέτερος διὰ τὸ μετὰ βίας ἕκαστα, ἔτι δὲ τάχους, ῥώμης, δεινότητος, οἷον καίειν τε ἅμα καὶ διαρπάζειν, σκηπτῷ τινι παρεικάζοιτ᾽ ἂν ἢ κεραυνῷ· ὁ δὲ Κικέρων, ὡς ἀμφιλαφής τις ἐμπρησμὸς, (οἶμαι) πάντῃ νέμεται καὶ ἀνειλεῖται, πολὺ ἔχων καὶ ἐπίμονον ἀεὶ τὸ καῖον, καὶ διακληρονομούμενον ἄλλοτ᾽ ἀλλοίως ἐν αὐτῷ, καὶ κατὰ διαδοχὰς ἀνατρεφόμενον. Ἀλλὰ ταῦτα μὲν ὑμεῖς ἂν ἄμεινον ἐπι-

ſimus aliquid ſcire *(de ſcriptoribus Latinis)* etiam Cicero differt à Demoſthene in Sublimitatibus. Hic enim *abundat* plerumque Sublimitate præciſâ, Cicero autem diffuſâ: et ille noſter, quia violentiâ, et item celeritate, robore, vehementiâ omnia quaſi et urat ſimul et abripiat, comparari poteſt turbini procelloſo, aut fulmini: Cicero autem, velut latè patens quoddam incendium, (opinor,) ubique depaſcitur et volutatur, multam habens ſemperque manentem inflammandi vim, et variis in locis vario modo apud ipſum diſtributam, alterâque *materiâ* alteri ſuccedente enutritam: ſed de his Vos *Latini* melius poteſtis judi-

κρίνοιτε. Καιρὸς δὲ τοῦ Δημοσθενικοῦ μὲν ὕψους καὶ ὑπερτεταμένου, ἔν τε ταῖς δεινώσεσι καὶ τοῖς σφοδροῖς πάθεσι, καὶ ἔνθα δεῖ τὸν ἀκροατὴν τὸ σύνολον ἐκπλῆξαι· τῆς δὲ χύσεως, ὅπου χρὴ καταντλῆσαι· τοπηγορίαις τε γὰρ, καὶ ἐπιλόγοις κατὰ τὸ πλέον, καὶ παρεκβάσεσι, καὶ τοῖς φραστικοῖς ἅπασι καὶ ἐπιδεικτικοῖς, ἱστορίαις τε, καὶ φυσιολογίαις, καὶ οὐκ ὀλίγοις ἄλλοις μέρεσιν ἁρμόδιος.

Ὅτι μέντοι ὁ Πλάτων (ἐπάνειμι γὰρ) Sect. XIII. τοιούτῳ τινὶ χεύματι ἀψοφητὶ ῥέων οὐδὲν ἧττον μεγεθύνεται, ἀνεγνωκὼς τὰ ἐν τῇ Πο-

care: Tempus autem Demoſthenicæ Sublimitatis *generiſque dicendi* elati maximè, eſt et in exaggerationibus et in vehementibus Affectibus, et ubi oportet auditorem omnino commovere: *tempus* autem *Ciceroniani* fuſi *dicendi* generis eſt, ubi oportet *eum* demulcere; communis enim loci *alicujus* tractationibus, et epilogis plerumque et digreſſionibus, et omnibus, quæ narrationem aut oſtentationem habent, hiſtoriiſque, et rerum naturalium expoſitionibus, et non paucis aliis partibus *orationis* eſt aptum.

Quòd Plato quidem (redeo enim) tali quodam flumine ſine ſtrepitu decurrens non minus *tamen* Sublimem ſe præſtat, Tu, qui legiſti ea quæ in *ejus* republicâ

λιτεία, τὸν τύπον οὐκ ἀγνοεῖς. “Οἱ ἄρα
“ φρονήσεως, φησὶ, καὶ ἀρετῆς ἄπειροι, εὐω-
“ χίαις δὲ καὶ τοῖς τοιούτοις ἀεὶ ξυνόντες, κά-
“ τω (ὡς ἔοικε) φέρονται, καὶ ταύτῃ πλα-
“ νῶνται διὰ βίου· πρὸς δὲ τὸ ἀληθὲς ἄνω
“ οὔτ' ἀνέβλεψαν πώποτε, οὔτ' ἀνηνέχθη-
“ σαν, οὐδὲ βεβαίου τε καὶ καθαρᾶς ἡδονῆς
“ ἐγεύσαντο· ἀλλὰ βοσκημάτων δίκην, κά-
“ τω ἀεὶ βλέποντες, καὶ κεκυφότες εἰς γῆν
“ καὶ εἰς τραπέζας βόσκονται χορταζόμενοι
“ καὶ ὀχεύοντες, καὶ ἕνεκα τῆς τούτων πλεονε-
“ ξίας λακτίζοντες καὶ κυρίττοντες ἀλλήλους
“ σιδηροῖς κέρασι καὶ ὁπλαῖς ἀποκτινύουσι
“ δι' ἀπληστίαν.”

continentur, non ignoras. “Qui quidem ſapientiæ “et virtutis expertes, “conviviis verò et hu- “juſmodi rebus ſemper “indulgentes, deorſum “(uti par eſt) feruntur, “atque ita per vitam va- “gantur: ad veritatem “autem neque ſuſpexe- “runt unquam, neque “aſſurrexerunt, neque “ſtabilem *ullam* et pu- “ram voluptatem guſta- “verunt: ſed pecudum “inſtar, deorſum ſemper “intuentes, deflexique “ad terram et ad men- “ſas explent ſe epulis et “venere; et cauſâ cupi- “ditatis harum rerum “calcitrantes et arietan- “tes ſe ferreis cornibus “ungulisſque interficiunt “ex inſatiabili deſide- “rio.”

Ἐνδείκνυται δ' ἡμῖν οὗτος ὁ ἀνήρ, εἰ βουλοίμεθα μὴ κατολιγωρεῖν, ὡς καὶ ἄλλη τις παρὰ τὰ εἰρημένα ὁδὸς ἐπὶ τὰ ὑψηλὰ τείνει. ποία δὲ, καὶ τίς αὕτη; ἡ τῶν ἔμπροσθεν μεγάλων συγγραφέων καὶ ποιητῶν μίμησίς τε καὶ ζήλωσις. Καὶ τούτου γε, φίλτατε, ἀπρὶξ ἐχώμεθα τοῦ σκοποῦ· πολλοὶ ἀλλοτρίῳ θεοφοροῦνται πνεύματι τὸν αὐτὸν τρόπον, ὃν καὶ τὴν Πυθίαν λόγος ἔχει τρίποδι πλησιάζουσαν, (ἔνθα ῥῆγμά ἐστι γῆς ὃ ἀναπνεῖν φασὶν ἀτμὸν ἔνθεον) αὐτόθεν ἐγκύμονα τῆς δαιμονίου καθισταμένην δυνάμεως παραυτίκα χρησμῳδεῖν κατ' ἐπίπνοιαν·

Oſtendit autem nobis vir, ſi nolimus *illum* ligere, aliam etiam quandam, præter eas s tractavimus, viam, e ad Sublimia ducit: lis autem, et quæ- n. *eſt* hæc? *nempe* imi- o æmulatioque mag- um ſcriptorum pro- orum et poëtarum, ante nos vixerunt. ad hunc ſcopum, chariſſime, *oculos* diligenter intendamus; multi enim *quaſi* divinitùs feruntur vi alieni ſpiritûs eodem modo, quo rumor eſt etiam Pythiam, cum tripodi appropinquet, (ubi, ut dicunt, "hiatus eſt "terræ ſpirans halitum "divinum") illinc quaſi gravidam factam vi divinâ ſtatim per inflatum oracula edere: ſimiliter

οὕτως ἀπὸ τῆς τῶν ἀρχαίων μεγαλοφυΐας εἰς τὰς τῶν ζηλούντων ἐκείνους ψυχὰς, ὡς ἀπὸ ἱερῶν στομίων, ἀπόρροιαί τινες φέρονται, ὑφ᾽ ὧν ἐπιπνεόμενοι, καὶ οἱ μὴ λίαν φοιβαστικοὶ, τῷ ἑτέρων συνενθουσιῶσι μεγέθει. Μόνος Ἡρόδοτος Ὁμηρικώτατος ἐγένετο; Στησίχορος ἔτι πρότερον, ὅ τε Ἀρχίλοχος, πάντων δὲ τούτων μάλιστα ὁ Πλάτων, ἀπὸ τοῦ Ὁμηρικοῦ ἐκείνου νάματος εἰς αὐτὸν μυρίας ὅσας παρατροπὰς ἀποχετευσάμενος. Καὶ ἴσως ἡμῖν ἀποδείξεων ἔδει, εἰ μὴ τὰ ἐπ᾽ εἴδους καὶ οἱ περὶ Ἀμμώνιον ἐκλέξαντες ἀνέγραψαν. Ἔστι δ᾽ οὐ κλοπὴ τὸ πρᾶγμα, ἀλλ᾽ ὡς ἀπὸ καλῶν ἠθῶν, ἢ πλασ-

ab illâ veterum animi magnitudine ad animos imitantium feruntur quædam, velut à ſacris ſpiraculis effluvia; quibus inflati etiam ii, qui *naturâ* non valdè ſunt Deo pleni, ab aliorum magnitudine concitantur. Solúſne Herodotus fuit magnus Homeri imitator? Steſichorus etiam ante *eum idem fuit*, et Archilochus: Plus autem, quàm hi omnes, Plato *fuit*, qui ab Homerico illo fonte innumeros rivulos ad ſe deduxit. Et forſitan nobis opus fuiſſet exemplis, niſi ea ſigillatim etiam Ammonius eligens in *ſuis* ſcriptis notâſſet. Hæc vero res non eſt furtum *ullum*, ſed (ut a bonis moribus *fieri poteſt*) ſive ſimula-

μάτων, ἢ δημιουργημάτων ἀποτύπωσις. Καὶ οὐδ' ἂν ἐγκαταμίξαι μοι δοκεῖ τηλικαῦτά τινα τοῖς τῆς φιλοσοφίας δόγμασι, καὶ εἰς ποιητικὰς ὕλας πολλαχοῦ συνεμβῆναι καὶ φράσεις, εἰ μὴ περὶ πρωτείων νὴ Δία παντὶ θυμῷ πρὸς Ὅμηρον, ὡς ἀνταγωνιστὴς νέος πρὸς ἤδη τεθαυμασμένον, ἴσως μὲν φιλονεικότερον, καὶ οἱονεὶ διαδορατιζόμενος, οὐκ ἀνωφελῶς δ' ὅμως, διηριστεύετο·

——ἀγαθὴ (γὰρ κατὰ τὸν Ἡσίοδον) ἔρις
ἥδε βροτοῖσι,

καὶ τῷ ὄντι καλὸς οὗτος καὶ ἀξιονικότατος εὐ-

crorum ſive operum expreſſa effigies. Et videtur mihi, quòd non vigere feciſſet ille quædam hujuſmodi in dogmatibus philoſophiæ, neque multis in locis ingreſſus eſſet in poëticas tam materias, quàm dictiones, niſi cum Homero toto animo mehercule de primis concertaſſet, (tanquam athleta juvenis cum eo, quem jam omnes admirantur) fortaſſe quidem contentionis cupidiùs *quam par fuit*, et velut haſtâ eum petens, non inutiliter tamen: nam (ſecundum Heſiodum)

— hæc contentio utilis
eſt mortalibus,

et reverâ hoc certamen de gloriâ et præmium

κλείας ἀγών τε καὶ στέφανος, ἐν ᾧ καὶ τὸ ἡττᾶσθαι τῶν προγενεστέρων οὐκ ἄδοξον.

Sect. XIV. Οὐκοῦν καὶ ἡμᾶς, ἡνίκ' ἂν διαπονῶμεν ὑψηγορίας τι καὶ μεγαλοφροσύνης δεόμενον, καλὸν ἀναπλάττεσθαι ταῖς ψυχαῖς, πῶς ἂν, εἰ τύχοι, ταὐτὸ τοῦθ' Ὅμηρος εἶπεν, πῶς δ' ἂν Πλάτων ἢ Δημοσθένης ὕψωσεν, ἢ ἐν ἱστορίᾳ Θουκυδίδης· προσπίπτοντα γὰρ ἡμῖν κατὰ ζῆλον ἐκεῖνα τὰ πρόσωπα, καὶ οἷον διαπρέποντα, τὰς ψυχὰς ἀνοίσει πως πρὸς τὰ ἀνειδωλοποιούμενα μέτρα. Ἔτι δὲ μᾶλλον, εἰ κἀκεῖνο τῇ διανοίᾳ προσυπογράφοιμεν, πῶς ἂν τόδε τι ὑπ' ἐμοῦ λεγόμενον

eſt pulchrum dignumque victoriâ; in quo *certamine* vinci quidem nos à majoribus non inglorium eſt.

Ergo et nos decet, cum molimur aliquid, quod Sublimitatem et animi altitudinem exigat, animis effingere quomodo forſitan Homerus hoc idem dixiſſet; et quomodo id Plato, vel Demoſthenes, vel in hiſtoriâ Thucydides Sublime effeciſſet: illæ enim perſonæ, ex imitatione nobis occurrentes et velut prælucentes, animos *noſtros* efferent ad illos *Sublimitatis* terminos, quorum imaginem ob oculos poſuimus. Tum vero magis, ſi illud quoque cogitationi repræſentemus, quomodo hoc, quod à me dicitur,

παρὼν Ὅμηρος ἤκουσεν, ἢ Δημοσθένης, ἢ πῶς ἂν ἐπὶ τούτῳ διετέθησαν· τῷ γὰρ ὄντι μέγα τὸ ἀγώνισμα, τοιοῦτον ὑποτίθεσθαι τῶν ἰδίων λόγων δικαστήριον καὶ θέατρον, καὶ ἐν τηλικούτοις ἥρωσι, κριταῖς τε καὶ μάρτυσιν, ὑπέχειν τῶν γραφομένων εὐθύνας, καὶ μὴ παῖξαι. Πλέον δὲ τούτων παρορμητικὸν, εἰ προστιθείης, πῶς ἂν ἐμοῦ ταῦτα γράψαντος ὁ μετ᾽ ἐμὲ πᾶς ἀκούσειεν αἰών; Εἰ δέ τις αὐτόθεν φοβοῖτο, μὴ τοῦ ἰδίου βίου καὶ χρόνου οὐ φθέγξαιτό τι ὑπερήμερον, ἀνάγκη καὶ τὰ συλλαμβανόμενα ὑπὸ τῆς τούτου ψυχῆς ἀτελῆ καὶ τυφλὰ ὥσπερ ἀμβλοῦσθαι, πρὸς τὸν τῆς

auditum accepiſſet Homerus, ſi adeſſet, aut Demoſthenes; vel quomodo hoc affecti eſſent: reverà enim magnum eſt certamen, tale conſtituere noſtrorum ſcriptorum tribunal theatrumque, et apud tantos heroas, judiceſque *ſimul* et teſtes, in ratione ſcriptorum reddendâ exerceri. Majus autem his incitamentum *eſt*, ſi addideris, quomodo de me, qui hæc ſcripſerim, judicabit omne ſequens ſæculum? Si quis autem ipſo *ſcribendi* tempore vereatur, ne non pronunciet aliquid, quod ſuæ vitæ temporique ſuperſit, neceſſe eſt ut etiam ea, quæ illius mente concipiuntur, imperfecta et cæca quaſi abortum patiantur, omnino non

ὑστεροφημίας ὅλης μὴ τελεσφορούμενα χρόνον.

Sect. XV. Ὄγκου, καὶ μεγαληγορίας, καὶ ἀγῶνος ἐπὶ τούτοις, ὦ νεανία, καὶ αἱ φαντασίαι παρασκευαστικώταται· οὕτω γοῦν εἰδωλοποιΐας αὐτὰς ἔνιοι λέγουσι· καλεῖται μὲν γὰρ κοινῶς φαντασία, πᾶν ἐννόημα λόγου γεννητικὸν, ὁπωσοῦν παριστάμενον· ἤδη δ' ἐπὶ τούτων κεκράτηκε τοὔνομα, ὅταν ἃ λέγῃς, ὑπ' ἐνθουσιασμοῦ καὶ πάθους βλέπειν δοκῇς, καὶ ὑπ' ὄψιν τιθῇς τοῖς ἀκούουσιν. Ὡς δ' ἕτερόν τι ἡ ῥητορικὴ φαντασία βούλεται, καὶ ἕτερον ἡ παρὰ ποιηταῖς, οὐκ ἂν λάθοι σε, οὐδ' ὅτι

perducta ad tempus famæ apud poſteros *vigentis.*

Prætereà, juvenis, Sublimitatis, et magnitudinis, et vis actuoſæ maximè effectrices ſunt etiam Viſiones (vel Imagines:) quippe ſic nonnulli appellant ipſas imaginum fictiones: vocatur enim generaliter Viſio, quidvis mente conceptum orationem generans, quomodocunque adſit; jam verò in his nomen valuit, cum ea, quæ dicis, divino quodam furore et Affectu cernere videaris, eaque ob oculos audientium ponas. Quòd verò aliud quiddam velit rhetorum Viſio, et aliud illa poëtarum, non poteſt te latere; neque quòd Viſionis in poëſi

τῆς μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, τῆς δ' ἐν λόγοις ἐνάργεια· ἀμφότεραι δ' ὅμως τοῦτ' ἐπιζητοῦσι, τὸ συγκεκινημένον.

Ὦ μῆτερ, ἱκετεύω σε· μὴ 'πισειέ μοι
Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας·
Αὗται γὰρ, αὗται πλησίον θρώσκουσί μου.

καὶ,

Οἴμοι, κτανεῖ με· ποῖ φύγω;

Ἐνταῦθ' ὁ ποιητὴς αὐτὸς εἶδεν ἐριννύας· ὃ δὲ ἐφαντάσθη, μικροῦ δεῖν θεάσασθαι καὶ τοὺς ἀκούοντας ἠνάγκασεν. Ἔστι μὲν οὖν φιλοπονώτατος ὁ Εὐριπίδης δύο ταυτὶ πάθη, μα-

finis ſit terror, ejus autem in orationibus *ſolutis* evidentia; utræque res tamen hoc quærant, *nempe* commotionem *animi*.

O mater obſecro te, ne contra me excites
Sanguinoculas et anguicomas virgines:
Ipſæ enim, ipſæ prope me inſiliunt,

et,

Hei mihi! interficiet me: quò fugiam?

Hic poëta ipſe vidit furias; et id, quod imaginatus eſt, coëgit auditores quoque propemodùm videre. Eſt igitur quidem Euripides imprimis ſtudioſus tragicè exprimendi duos hos Affectus, furoreſque

νίας τε καὶ ἔρωτας, ἐκτραγῳδῆσαι, κἂν τούτοις, ὡς οὐκ οἶδ' εἴ τισιν ἑτέροις, ἐπιτυχέστατος· οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπιτίθεσθαι φαντασίαις οὐκ ἄτολμος· ἥκιστά γέ τοι μεγαλοφυὴς ὢν, ὅμως τὴν αὐτὸς αὑτοῦ φύσιν ἐν πολλοῖς γενέσθαι τραγικὴν προσηνάγκασε, καὶ παρ' ἕκαστα ἐπὶ τῶν μεγεθῶν, ὡς ὁ Ποιητὴς,

Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται, ἓ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.

Τῷ γοῦν Φαέθοντι παραδιδοὺς τὰς ἡνίας ὁ Ἥλιος,

Ἔλα δὲ, μήτε Λιβυκὸν αἰθέρ' εἰσβαλών·

et amores, et in his *Affectibus* (ut neſcio an in ullis aliis) feliciſſimus: veruntamen non inaudax eſt ad alias quoque Viſiones aggrediendas: ſanè cum minimè naturâ Sublimi eſſet, tamen ipſe ſuam naturam coëgit in multis *locis* tragicam *et erectam* fieri, et ubique in Sublimibus (ut *dicit* Poëta ille)

Caudâ et latera et lumbos utrinque
Ferit, ſeque ipſe concitat ad pugnandum.

Phaëthonti igitur Sol cum tradidiſſet habenas, *apud illum ſic* dicit,

Age verò, neque Libycum aërem ingreſſus;

Κρᾶσιν γὰρ ὑγρὰν οὐκ ἔχων, ἀψῖδα
σὴν
Κάτω διήσει ————
φησίν. Εἶθ' ἑξῆς,
Ἵει δ' ἐφ' ἑπτὰ Πλειάδων ἔχων δρόμον·
Τοσαῦτ' ἀκούσας χέρσ' ἔμαρψεν ἡνίας·
Κρούσας δὲ πλευρὰν πτεροφόρων ὀχη-
μάτων
Μεθῆκεν· αἱ δ' ἔπταντ' ἐπ' αἰθέρος
πτυχάς.
Πατὴρ δ' ὄπισθε νῶτα σειρίου βεβὼς
Ἵππευε, παῖδα νουθετῶν, Ἐκεῖσ' ἔλα,
Τῇ ῥα στρέφ' ἅρμα, τῇ δέ. ——
Ἆρ' οὐκ ἂν ἔποις, ὅτι ἡ ψυχὴ τοῦ γράφοντος

Temperiem enim humidam non habens, tuum currum
Deorſum tranſmittet.
Deinde poſteà
I verò ad ſeptem Pleiadas tenens curſum:
Tot cum audiiſſet, deinde corripuit habenas;
Quatienſque ſcuticâ *latus* equarum *alatarum, cum curribus*
Dimiſit eas; *illæ autem volabant ad ætheris convexa:*
Pater verò ponè tergum equi aſtrici conſcendens
Equitavit, admonens filium, Illâc age,
Hâc verte currum, et hâc &c.
Annon poſſis dicere, animum ſcribentis ſimul

συνεπιβαίνει τοῦ ἅρματος, καὶ συγκινδυνεύουσα τοῖς ἵπποις συνεπτέρωται; οὐ γὰρ ἄν, εἰ μὴ τοῖς οὐρανίοις ἐκείνοις ἔργοις ἰσοδρομοῦσα ἐφέρετο, τοιαῦτ' ἄν ποτε ἐφαντάσθη. Ὅμοια καὶ τὰ ἐπὶ τῆς Κασσάνδρας αὐτῷ,

Ἀλλ', ὦ φίλιπποι Τρῶες ——

Τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωτάταις, (ὥσπερ καὶ οἱ ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ,

Ἄνδρες, φησὶν, ἑπτὰ θούριοι λοχαγέται,
Ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος,
Καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου.
Ἄρην τ' Ἐνυὼ, καὶ φιλαίματον Φόβον

cum Phaëthonte conſcendere currum, et in eodem verſatum periculo unà cum equis volare? neque enim, niſi ferretur curſu æquali factis illis cœleſtibus talia unquam imaginari potuiſſet. Similia *ſunt* etiam illa, quæ apud ipſum de Caſſandrâ *dicuntur*,

Sed, O Troës pugnis equeſtribus gaudentes &c.

Et cum Æſchylus audax ſit in concipiendis Viſionibus maximè heroïcis, (ut apud ipſum *Tragœdia* vocata ſeptem ad Thebas dicit,

Viri ſeptem, bellicoſi agminum ductores,
Taurum mactantes ſuper nigro ſcuto,
Tangenteſque manibus taurinum ſanguinem,
Martemque, Bellonam, et ſanguine gaudentem Metum

Ὀρκωμότησαν, ——

τὸν ἴδιον αὐτῶν πρὸς ἀλλήλοις δίχα οἴκτου συνομνύμενοι θάνατον) ἐνίοτε μέντοι ἀκατεργάστους, καὶ οἱονεὶ ποκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως ἑαυτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας τοῖς κινδύνοις προσβιβάζει. Καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται,

Ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη.

ὁ δ' Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε,

Πᾶν δὲ ξυνεβάκχευσ' ὄρος.

Jurarunt &c. in ſuam ipſorum mortem invicem ſine *ulla ſui* miſeratione conjurati) nonnunquam verò afferat ſenſus rudes, et quaſi impexos parumque ſubactos, tamen ſe ipſe Euripides præ æmulatione cogit ad illa ipſa propiùs accedere pericula. Et apud Æſchylum palatia Lycurgi, cum appareat Bacchus, mirabiliter ſacro furore commoventur,

Numine afflatur jam domus, bacchatur tectum:

Euripides autem alio modo hoc idem ſuavius reddens expreſſit,

Totus autem ſimul bacchatus eſt mons.

Ἄκρως δὲ καὶ ὁ Σοφοκλῆς ἐπὶ τοῦ θνήσκοντος Οἰδίπου καὶ ἑαυτὸν μετὰ διοσημείας τινὸς θάπτοντος πεφάντασται, καὶ, κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων, ἐπὶ τ' Ἀχιλλέως προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου. Ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου· πάντα δ' ἀμήχανον παρατίθεσθαι. Οὐ μὴν ἀλλὰ τὰ μὲν παρὰ τοῖς ποιηταῖς μυθικωτέραν ἔχει τὴν ὑπερέκπτωσιν, ὡς ἔφην, καὶ πάντη τὸ πιστὸν ὑπεραίρουσαν· τῆς δὲ ῥητορικῆς φαντασίας, κάλλιστον ἀεὶ τὰ ἔμπρακτον καὶ ἐνάληθες· δειναὶ δὲ καὶ ἔκφυλοι αἱ παραβάσεις, ἡνίκ' ἂν ᾖ

Sublimi autem modo etiam Sophocles de Oedipo moriente ſeque cum prodigioſâ tempeſtate ſepeliente imagines concepit; et (cum diſcederent Græci) de Achille apparente ſuper tumulo iis, qui reditum parabant. Quod quidem viſum neſcio an quis evidentius, quam Simonides, repræſentaverit: ſed omnia *exempla Viſionum* apponere difficile eſt. Veruntamen ea, quæ *ſunt* apud poëtas, habent exceſſum fabuloſiorem, ut dixi, et ubique, quod credibile eſt, ſuperantem: quod verò ad rhetoricam Viſionem attinet, id ſemper pulcherrimum eſt, quod ex re et veritate ductum eſt. Sublimeſque tranſitiones *in Rhetoribus*

ποιητικὸν τοῦ λόγου καὶ μυθῶδες τὸ πλάσμα, καὶ εἰς πᾶν προσεκπίπτον τὸ ἀδύνατον· ὡς ἤδη νὴ Δία καὶ οἱ καθ' ἡμᾶς δεινοὶ ῥήτορες, καθάπερ οἱ τραγῳδοὶ, βλέπουσιν ἐριννύας· καὶ οὐδὲ ἐκεῖνο μαθεῖν οἱ γενναῖοι δύνανται, ὅτι ὁ λέγων Ὀρέστης,

Μέθες, μί' οὖσα τῶν ἐμῶν ἐριννύων·
Μέσον μ' ὀχμάζεις, ὡς βάλῃς εἰς τάρταρον,

φαντάζεται ταῦθ', ὅτι μαίνεται. Τί οὖν ἡ ῥητορικὴ φαντασία δύναται; πολλὰ μὲν ἴσως καὶ ἄλλα τοῖς λόγοις ἐναγώνια καὶ

ſunt etiam alienæ, cum forma orationis ſit poëtica et fabuloſa, et incidat in omne id quod impoſſibile eſt: ut jam etiam illi, qui Sublimes (ſi Diis placet) apud nos rhetores ſunt, eodem more, quo tragœdi, vident furias: et ne hoc illi magnanimi *ſcilicet* poſſunt diſcere, quòd, cum dicit Oreſtes,

Dimitte me, tu quæ es una mearum Furiarum:
Medium me ulnis amplecteris, ut jacias in tartarum,

imaginatur hæc, quia inſanit. Quid igitur rhetorica Viſio poteſt *facere?* orationibus quidem etiam multa forſitan *poteſt* alia afferre, quæ in ſe vim contentionis et Af-

ἐμπαθῆ προσεισφέρειν· κατακιρναμένη μέντοι ταῖς πραγματικαῖς ἐπιχειρήσεσιν, οὐ πείθει τὸν ἀκροατὴν μόνον, ἀλλὰ καὶ δουλοῦται. “Καὶ μὴν εἴ τις, φησὶν, αὐτίκα “δὴ μάλα κραυγῆς ἀκούσειε περὶ τῶν δι-“καστηρίων, εἶτ᾽ εἴποι τις, ὡς ἀνέῳκται τὸ “δεσμωτήριον, οἱ δὲ δεσμῶται φεύγουσιν, “οὐθεὶς οὕτως, οὔτε γέρων οὔτε νέος, ὀλί-“γωρός ἐστιν, ὃς οὐχὶ βοηθήσει καθ᾽ ὅσον “δύναται· εἰ δὲ δή τις εἴποι παρελθὼν, ὡς “ὁ τούτους ἀφεὶς οὗτός ἐστιν, οὐδὲ λόγου τυ-“χὼν παραυτίκ᾽ ἂν ἀπόλοιτο.” Ὡς νὴ Δία καὶ ὁ Ὑπερείδης κατηγορούμενος, ἐπειδὴ τοὺς δούλους μετὰ τὴν ἧτταν ἐλευθέρους ἐψηφί-

fectûs habent: ſane immixta argumentationibus negotialibus non tantùm perſuadet auditori, ſed etiam dominatur. “Et ſanè ſi quis (dicit “*Demoſthenes*) derepente “clamorem ante tribu-“nalia magnum audiat; “deinde nunciet aliquis “apertum eſſe carcerem, “vinctoſque fugere; ne-“mo, ſive ſenex ſive ju-“venis, tam negligens “eſt ut non auxilium, “quantum poterit, fe-“rat: Siquis verò ſuper-“veniens dicat, quòd “qui illos emiſerit, Hic “eſt, ſtatim, ne impe-“tratâ *pro ſe* dicendi ve-“niâ, periret.” Ut mehercule etiam Hyperides accuſatus, quod ſervos poſt cladem acceptam liberos eſſe decreve-

σαιτο, "τοῦτο τὸ ψήφισμα, εἶπεν, οὐχ ὁ "ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ "μάχη·" ἅμα γὰρ τῷ πραγματικῶς ἐπιχειρεῖν ὁ ῥήτωρ πεφάντασται· διὸ καὶ τὸν τοῦ πείθειν ὅρον ὑπερβέβηκε τῷ λήμματι. Φύσει δέ πως ἐν τοῖς τοιούτοις ἅπασιν ἀεὶ τοῦ κρείττονος ἀκούομεν· ὅθεν ἀπὸ τοῦ ἀποδεικτικοῦ περιελκόμεθα εἰς τὸ κατὰ φαντασίαν ἐκπληκτικόν, ᾧ τὸ πραγματικὸν ἐγκρύπτεται περιλαμπόμενον. Καὶ τοῦτ' οὐκ ἀπεικότως πάσχομεν· δυοῖν γὰρ συνταττομένων ὑφ' ἕν, ἀεὶ τὸ κρεῖττον εἰς ἑαυτὸ τὴν θατέρου δύναμιν περισπᾷ. Τοσαῦτα περὶ τῶν κατὰ τὰς νοή-

rit, "Hanc rogationem "(dixit) non rhetor tu- "lit, ſed Chæronenſis "pugna:" ſimul enim cum argumentatione negotiali rhetor Viſionem effecit; quare et perſuaſionis terminum tranſivit *illâ* circumſtantiâ *ex re ductâ*. Naturaliter autem quodammodo in omnibus hujuſmodi rebus ſemper audimus *et attendimus ad* id, quod melius eſt: unde ab eo, quod demonſtrativum eſt, abducimur ad id, quod Viſione nos commoveret; in quo occultatur magna luce circumdata pars illa, quæ negotialis eſt. Et hoc non præter rationem patimur; nam, cum res collocatæ ſunt in unum, ſemper melior vim alterius ad ſe trahit. Hæc ſufficient *dicta* de Subli-

σεις ὑψηλῶν, καὶ ὑπὸ μεγαλοφροσύνης, ἢ μιμήσεως, ἢ φαντασίας ἀπογεννωμένων ἀρκέσει.

Sect. XVI. Αὐτόθι μέντοι καὶ ὁ περὶ σχημάτων ἐφεξῆς τέτακται τόπος· καὶ γὰρ ταῦτ', ἂν ὃν δεῖ σκευάζηται τρόπον, ὡς ἔφην, οὐκ ἂν ἡ τυχοῦσα μεγέθους εἴη μερίς· οὐ μὴν ἀλλ', ἐπεὶ τὸ πάντα διακριβοῦν πολὺ ἔργον ἐν τῷ παρόντι, μᾶλλον δ' ἀπερίοριστον, ὀλίγα τῶν, ὅσα μεγαληγορίας ἀποτελεστικὰ, τοῦ πιστώσασθαι τὸ προκείμενον ἕνεκα, καὶ δὴ διέξιμεν. Ἀπόδειξιν ὁ Δημοσθένης ὑπὲρ τῶν πεπολι-

mibus, quæ ad ſenſus attinent, et quæ *vel* ab animi Magnitudine, *vel præcipuarum circumſtantiarum Delectu et Congerie, vel Incremento*, vel Imitatione, vel Viſione naſcuntur.

Illic porrò etiam de Figuris in ordine aſſignatus eſt locus; etenim hæ, ſi adhibeantur eo quo debent modo, poſſunt eſſe (ut dixi) minimè vulgaris pars Sublimitatis: verùntamen, quoniam omnes eas accuratè in præſens tractare multi laboris eſſet, ſeu potius infiniti, ex his paucis, quæ Sublimitatem efficiunt, confirmandi id quod *à nobis* poſitum eſt causâ, percurremus. Probationem Demoſthenes affert

τευμένων εἰσφέρει· τίς δ' ἦν ἡ κατὰ φύσιν
χρῆσις αὐτῆς; " οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ
" τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀρά-
" μενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγμα-
" τα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον,
" οὐδ' οἱ ἐν Σαλαμῖνι, οὐδ' οἱ ἐν Πλα-
" ταιαῖς." Ἀλλ' ἐπειδὴ, καθάπερ ἐμπνευ-
σθεὶς ἐξαίφνης ὑπὸ θεοῦ, καὶ οἱονεὶ φοιβό-
ληπτος γενόμενος, τὸν κατὰ τῶν ἀριστέων τῆς Ἑλ-
λάδος ὅρκον ἐξεφώνησεν, " οὐκ ἔστιν ὅπως
" ἡμάρτετε, οὐ μὰ τοὺς ἐν Μαραθῶνι προ-
" κινδυνεύσαντας," φαίνεται δι' ἑνὸς τοῦ ὀμο-
τικοῦ σχήματος, ὅπερ ἐνθάδε ἀποστροφὴν

de iis quæ *à ſe* in admi-
niſtratione urbis geſta e-
rant: Quinam autem eſ-
ſet naturalis ejus *proba-
tionis* uſus? *nempe hic*,
" Non malè feciſtis, O
" vos, qui certamen ini-
" iſtis pro libertate Græ-
" corum; habetis autem
" domeſtica hujus exem-
" pla; neque enim male
" fecerunt illi, qui ad
" Marathona *depugnave-*
" *runt*, neque qui ad Sa-
" lamina, neque qui ad
" Platæas." Sed, quum
(velut numine repente
afflatus et quaſi Phœbo
percitus) jusjurandum
illud per propugnatores
Græcorum edidit, " Non
" male feciſtis; non, *juro*
" per eos, qui in Mara-
" thone anteà periclitati
" ſunt," videtur hâc unâ
jurisjurandi figurâ, quam

ἐγὼ καλῶ, τοὺς μὲν προγόνους ἀποθεώσας, ὅτι δεῖ τοὺς οὕτως ἀποθανόντας ὡς θεοὺς ὀμνύναι παριστάνων, τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ πάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιώνιόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον· ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἔλαττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον, ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις, παρίστασθαι φρονεῖν· οἷς πᾶσι τοὺς ἀκροατὰς διὰ

hîc Apoſtrophen appello, majores *ſuos* Deos effeciſſe, (docendo, quòd oporteat per eos, qui ſic è vitâ exceſſerint, tanquam per Deos jurare) judicibus autem animi magnitudinem eorum, qui illîc olim periculum ſubierant, inſinuâſſe; et probationis naturam convertiſſe in eximiam Sublimitatem et affectum et in eam fidem, quæ meritò tribuenda eſſet novi excellentiſque generis juramentis; ſimulque infudiſſe in animos audientium opinionem quandam medicam et dolores propulſantem; ut illi elati laudibus docerentur non minores animos habere ob pugnam cum Philippo *commiſſam*, quàm ob victorias Marathone et Salamine *reportatas*: quibus omnibus audito-

τοῦ σχηματισμοῦ συναρπάσας ᾤχετο. Καί τοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι,

Οὐ γὰρ, μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν
μάχην,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

Ἔστι δὲ οὐ τὸ ὁπωσοῦν τινὰ ὀμόσαι μέγα, τὸ δὲ ποῦ, καὶ πῶς, καὶ ἐφ' ὧν καιρῶν, καὶ τίνος ἕνεκα. Ἀλλ' ἐκεῖ μὲν οὐδέν ἐστ' εἰ μὴ ὅρκος, καὶ πρὸς εὐτυχοῦντας ἔτι, καὶ οὐ δεομένους παρηγορίας, τοὺς Ἀθηναίους· ἔτι δ' οὐχὶ τοὺς ἄνδρας ἀπαθανατίσας ὁ Ποιητὴς ὤμοσεν, ἵνα τῆς ἐκείνων ἀρετῆς τοῖς ἀκούουσιν ἐντέκῃ

res vi *hujus* Figuræ ſecum abripiens inceſſit. Dicunt quidem ſemen *hujus* juramenti inventum eſſe apud Eupolidem,

Non enim, juro per eam
ad Marathona pugnam,
Gaudens aliquis eorum
meum cor dolore afficiet.

At non quovis aliquem jurare modo, magnum eſt: ſed ubi, et quomodo, et quo tempore, et cujus rei cauſâ *juremus*, *conſiderandum eſt*. Illîc autem nihil aliud eſt quàm *merum* juramentum, idque ad Athenienſes factum, cum adhuc proſperè res ſuas agerent, et conſolatione non indigerent; porro Poëta juravit, non homines immortalitate donando, ut au-

λόγον ἄξιον, ἀλλ' ἀπὸ τῶν προηυδημονηκότων ἐπὶ τὸ ἄψυχον ἀπεπλανήθη, τὴν μάχην· Παρὰ δὲ τῷ Δημοσθένει πεπραγμάτευται πρὸς ἡττημένους ὁ ὅρκος, ὡς μὴ Χαιρώνειαν ἔτ' Ἀθηναίοις ἀτύχημα φαίνεσθαι. Καὶ ταυτὸν, ὡς ἔφην, ἅμα ἀπόδειξίς ἐστι τοῦ μηδὲν ἡμαρτηκέναι, παράδειγμα, ὅρκων πίστις, ἐγκώμιον, προτροπή. Κἀπειδήπερ ὑπήντα τῷ ῥήτορι, "Λέγεις, ἧτταν πολι- "τευσάμενος, εἶτα νίκας ὀμνύεις;" διὰ ταῦτα τὰ ἑξῆς κανονίζει, καὶ δι' ἀσφαλείας ἄγει καὶ ὀνόματα, διδάσκων ὅτι κἀν βακ-

dientibus inſereret rationem dignam illorum virtute: ſed ab iis, qui anteà periclitati erant, malè delapſus eſt ad rem inanimam, *nempe* ad pugnam: Apud Demoſthenem verò rem habuit cum victis juramentum, ut Chæronea non amplius videretur Athenienſibus fuiſſe infortunium. Et (hoc ut dixi) eodem tempore Probatio eſt *illos* nihil malè feciſſe, exemplum, juramenti fides, laudatio, cohortatio. Et quoniam Rhetori *in animo* occurrebat *hoc*, "Tu qui "Remp. adminiſtrâſti "loqueris de clade, de- "inde juras per victo- "rias;" propterea in iis, quæ ſequuntur, ad normam explorat, et per tutum iter verba quoque ducit, docens neceſſe eſſe etiam in ipſis furoribus ſobrium ſe præ-

χεύμασι νήφειν ἀναγκαῖον, « τοὺς προκιν- « δυνεύσαντας, φησὶν, ἐν Μαραθῶνι τῶν « προγόνων καὶ τοὺς Σαλαμῖνι, καὶ τοὺς ἐπ' « Ἀρτεμισίῳ ναυμαχήσαντας, καὶ τοὺς ἐν « Πλαταιαῖς παραταξαμένους·" οὐδαμοῦ « νικήσαντας" εἶπεν, ἀλλὰ πάντη τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδήπερ ἦν εὐτυχὲς, καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον· διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει, « οὓς ἅπαντας ἔθαψε δημοσίᾳ, φησὶν, ἡ « πόλις, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας « μόνους."

Οὐκ ἄξιον δ' ἐπὶ τούτου τοῦ τόπου παρα- Sect. XVII.

ſtare; "per illos (inquit) ex majoribus *noſtris*, qui anteà periclitati ſunt in Marathone, et illos qui ad Salamina et ad Arteniſium navali prœlio dimicârunt, et illos qui ad Platæas acie ſteterunt inſtructâ:" nuſquam dixit "qui vicerunt," ſed omnino quaſi furto removit eventûs nomen, quia fortunatus fuit, iiſque rebus, quæ ad Chæroneam *geſtæ ſunt*, contrarius: quare et auditorem præveniens ſtatim ſubjicit, "quos omnes (inquit) publicè ſepeliit civitas, Æſchine, non eos ſolos, qui feliciter rem geſſerint."

Non autem decet hoc in loco, chariſſime, præ-

λιπεῖν ἕν τι τῶν ἡμῖν τεθεωρημένων, φίλτατε, (ἔσται δὲ πάνυ σύντομον) ὅτι φύσει πως συμμαχεῖ τε τῷ ὕψει τὰ σχήματα, καὶ πάλιν ἀντισυμμαχεῖται θαυμαστῶς ὑπ' αὐτοῦ. Πῇ δὲ καὶ πῶς, ἐγὼ φράσω. Ὕποπτόν ἐστιν ἰδίως τὸ διὰ σχημάτων πανουργεῖν, καὶ προσβάλλον ὑπόνοιαν ἐνέδρας, ἐπιβουλῆς, παραλογισμοῦ· καὶ ταῦθ', ὅταν ᾖ πρὸς κριτὴν κύριον ὁ λόγος, μάλιστα δὲ πρὸς τυράννους, βασιλέας, ἡγεμόνας ἐν ὑπεροχαῖς· ἀγανακτεῖ γὰρ εὐθὺς, εἰ, ὡς παῖς ἄφρων, ὑπὸ τεχνίτου ῥήτορος σχηματίοις κατασοφίζεται, καὶ εἰς καταφρόνησιν ἑαυτοῦ λαμβάνων

termittere unum quoddam ex iis, quæ à nobis obſervata ſunt, (erit verò breviſſimum) *nempe*, quòd Figuræ naturâ quodammodo auxilium ferunt Sublimitati, rurſuſque mirificè accipiunt ab illâ. Sed ubi et quî *hoc fit*, exponam. Omnia per Figuras tractare, imprimis eſt res ſuſpicioſa, et quæ adducit opinionem inſidiarum, doli, fraudis: idque cum oratio habetur coram Judice, ex cujus arbitrio cauſa pendet, (præſertim vero coram Tyrannis, Regibus, Imperatoribus ſummâ poteſtate utentibus;) indignatur enim ſtatim ſi, velut puer inſipiens, ab artifice Rhetore Figuris decipiatur: putanſque ratiocinationem falſam

τοῦ παραλογισμοῦ, ἐνίοτε μὲν ἀποθηριοῦται τὸ σύνολον, κἂν ἐπικρατήσῃ δὲ τοῦ θυμοῦ, πρὸς τὴν πειθὼ τῶν λόγων πάντως ἀντιδιατίθεται· διόπερ καὶ τότε ἄριστον δοκεῖ τὸ σχῆμα, ὅταν αὐτὸ τοῦτο διαλανθάνῃ, ὅτι σχῆμά ἐστι. Τὸ τοίνυν ὕψος καὶ πάθος τῆς ἐπὶ τῷ σχηματίζειν ὑπονοίας ἀλέξημα καὶ θαυμαστή τις ἐπικουρία καθίσταται· καί πως παραλειφθεῖσα ἡ τοῦ πανουργεῖν τέχνη τοῖς κάλλεσι καὶ μεγέθεσι τὸ λοιπὸν ὑποδέδυκε, καὶ πᾶσαν ὑποψίαν ἐκπέφευγεν. Ἱκανὸν δὲ τεκμήριον τὸ προειρημένον, "μὰ τοὺς ἐν Μαραθῶνι." Τίνι γὰρ ἐνταῦθ' ὁ ῥήτωρ ἀπέκρυψε τὸ σχῆ-

eſſe contemptum ſui, nonnunquam omnino efferus eſt, et, ſi contineat iram, *tamen*, quo minus verbis perſuadeatur, totum ſe opponit: quare et tunc Figura optima videtur, cum eam ipſam non appareat Figuram eſſe. Sublimitas igitur et Affectus contra ſuſpicionem, quæ ex Figurarum uſu veniat, remedium et admirabile quoddam auxilium eſt: et artificium *illud* omnia vafrè agendi *per Figuras*, cum adhibitum fuerit iis, quæ pulchra et Sublimia ſunt, deinceps latuit omnemque ſuſpicionem evitavit. Idoneum autem argumentum *hujus rei* eſt id quod anteà citavimus, "Juro per "eos, qui in Maratho-"ne," &c. Quomodo enim Rhetor hîc figuram

μα; δῆλον, ὅτι τῷ φωτὶ αὐτῷ· σχεδὸν γὰρ, ὥσπερ καὶ τὰ ἀμυδρὰ φέγγη ἐναφανίζεται τῷ ἡλίῳ περιαυγούμενα, οὕτω τὰ τῆς ῥητορικῆς σοφίσματα ἐξαμαυροῖ περιχυθὲν πάντοθεν τὸ μέγεθος. Οὐ πόρρω δ᾽ ἴσως τούτου καὶ ἐπὶ ζωγραφίας τι συμβαίνει· ἐπὶ γὰρ τοῦ αὐτοῦ κειμένων ἐπιπέδου παραλλήλων ἐν χρώμασι τῆς σκιᾶς τε καὶ τοῦ φωτὸς, ὅμως προϋπαντᾷ τε τὸ φῶς ταῖς ὄψεσι, καὶ οὐ μόνον ἔξοχον, ἀλλὰ καὶ ἐγγυτέρω παραπολὺ φαίνεται. Οὐκοῦν καὶ τῶν λόγων τὰ πάθη καὶ τὰ ὕψη, ταῖς ψυχαῖς ἡμῶν ἐγγυτέρω κείμενα διά τε φυσικήν τινα συγγένειαν καὶ διὰ λαμπρότητα, ἀεὶ τῶν σχημάτων προ-

celavit? manifeſtum eſt, quòd *hoc* ipſâ luce *fecit*: ferè enim, quemadmodum lumina debilia obſcurantur undique Sole illuſtrata, ita Sublimitas ubique circumfuſa abſcondit Rhetoricæ artificia: Et non diverſum fortè ab hoc quiddam in picturâ evenit: nam cum umbra et lux, coloribus depictæ, in eâdem tabulæ planitie parallelæ jaceant, tamen lux priùs oculos ferit, neque ſolùm eminere, ſed et multò propriùs eſſe videtur. Quare etiam Affectus et Sublimitates ſcriptorum, cum animis noſtris jaceant propinquiores tum ob naturalem quandam cognationem tum ob *ſuum* ſplendorem, ſemper ante conſpiciuntur quàm Fi-

ἐμφανίζεται, ὃ τὴν τέχνην αὐτῶν ἀποσκιάζει καὶ οἷον ἐν κατακαλύψει τηρεῖ.

Τί δ' ἐκεῖνα φῶμεν, τὰς πεύσεις τε καὶ ἐρωτήσεις; ἆρα οὐκ αὐταῖς ταῖς τῶν σχημάτων εἰδοποιΐαις παραπολὺ ἐμπρακτότερα καὶ σοβαρώτερα συντείνει τὰ λεγόμενα; "Ἢ "βούλεσθε, εἰπέ μοι, περιϊόντες ἀλλήλων "πυνθάνεσθαι, λέγεταί τι καινόν; τί γὰρ ἂν "γένοιτο τούτου καινότερον, ἢ Μακεδὼν ἀνὴρ "καταπολεμῶν τὴν Ἑλλάδα; τέθνηκε Φί-"λιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ· τί δ' "ὑμῖν διαφέρει; καὶ γὰρ, ἂν οὗτός τι πά-"θῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιή- Sect. XVIII.

guræ, artificiumque iſtarum *Figurarum* obumbrant et quaſi occultum aſſervant.

Quid verò de illis dicemus, *nempe* de Interrogationibus et Percontationibus? annon his Figurarum conformationibus *idem ille Rhetor Demoſthenes* laborat efficere ea, quæ dicit, multo magis actuoſa et magnifica? "Num vultis "(inquit) dic mihi, *quiſ-*"*quis es*, circùm curſi-"tantes alii alios per-"contari, Dicitúrne ali-"quid novi? Quid e-"nim poteſt eſſe magis "novum quàm vir Ma-"cedo bello aggrediens "Græciam? Mortuúſne "eſt Philippus? non per "Jovem, ſed ægrotat? "quid autem veſtrâ in-"tereſt? ſi enim moria-"tur ille, brevi vos alium

“ σετε.” Καὶ πάλιν, “ Πλέωμεν ἐπὶ Μακεδονίαν, φησί· ποῖ δὴ προσορμιούμεθα; “ ἤρετό τις· εὑρήσει τὰ σαθρὰ τῶν Φιλίππου “ πραγμάτων αὐτὸς ὁ πόλεμος.” Ἦν δὲ, ἁπλῶς ῥηθὲν, τὸ πρᾶγμα τῷ παντὶ καταδεέστερον· νυνὶ δὲ τὸ ἔνθουν καὶ ὀξύρροπον τῆς πεύσεως καὶ ἀποκρίσεως, καὶ τὸ πρὸς ἑαυτὸν ὡς πρὸς ἕτερον ἀνθυπαντᾶν, οὐ μόνον ὑψηλότερον ἐποίησε τῷ σχηματισμῷ τὸ ῥηθὲν, ἀλλὰ καὶ πιστότερον. Ἄγει γὰρ τὰ παθητικὰ τότε μᾶλλον, ὅταν αὐτὰ φαίνηται μὴ ἐπιτηδεύειν αὐτὸς ὁ λέγων, ἀλλὰ γεννᾶν ὁ καιρός· ἡ δ' ἐρώτησις ἡ εἰς ἑαυτὸν

“ Philippum *vobis* facie- “ tis.” Et rurſus dicit, “ Navigemus in Mace- “ doniam: ſed quò ap- “ pellemus? roget ali- “ quis: bellum ipſum “ inveniet ea, quæ debi- “ lia ſunt in rebus Phi- “ lippi.” Eſſet autem hæc res, ſi ſimpliciter diceretur, omnino abjectior *quàm decuit:* nunc autem concitata vis velocitaſque Interrogationis et Reſponſionis, et ille ſibi ipſi velut alteri *objicienti* occurrendi modus, Figuræ ope non ſolùm Sublimius fecit id quod dictum eſt, ſed et credibilius. Pathetica enim tunc magis commovent, cum ea videatur non elaborare ipſe Orator, ſed generare occaſio: ad ſe autem *directa*

καὶ ἀπόκρισις μιμεῖται τοῦ πάθους τὸ ἐπίκαιρον. Σχεδὸν γάρ, ὡς οἱ ὑφ᾽ ἑτέρων ἐρωτώμενοι, παροξυνθέντες ἐκ τοῦ παραχρῆμα, πρὸς τὸ λεχθὲν ἐναγωνίως καὶ ἀπ᾽ αὐτῆς τῆς ἀληθείας ἀνθυπαντῶσιν· οὕτω τὸ σχῆμα τῆς πεύσεως καὶ ἀποκρίσεως, ἐκ τοῦ δοκεῖν ἕκαστον τῶν ἐσκεμμένων ἐξ ὑπογύου κεκινῆσθαί τε καὶ λέγεσθαι, τὸν ἀκροατὴν ἀπάγει καὶ παραλογίζεται. Ἔτι τοίνυν, (ἓν γάρ τι τῶν ὑψηλοτάτων τὸ Ἡροδότειον πεπίστευται,) εἰ οὕτως ἐ * * * * * * *

* * * * * * * ἄπλοκα ἐκπίπτει, καὶ οἱονεὶ Sect. XIX.
προχεῖται τὰ λεγόμενα, ὀλίγου δεῖν φθά-

Interrogatio et *facta* Reſponſio imitatur Affectum ex occaſione natum. Ferè enim, quemadmodum illi, qui ab aliis *quid* interrogati ſunt, ſubitò ſe exacuentes, ei, quod dicitur, concitatè atque ex ipſâ veritate reſpondent; ſic Figura Interrogationis et Reſponſionis auditorem, ut ei videatur unumquodque eorum, quæ meditata ſunt, extempore concipi dicique, abducendo etiam fallit *eum*. Porrò (nam hoc Herodoti creditum eſt unum eſſe ex maximè Sublimibus,) ſi ſic * * * * * * *

* * * * * * * ea, quæ dicuntur, non ligata proveniunt, et quaſi profunduntur, ferè prævenientia etiam ipſum di-

νοντα καὶ αὐτὸν τὸν λέγοντα. "Καὶ συμβα-
"λόντες, φησὶν ὁ Ξενοφῶν, τὰς ἀσπίδας,
"ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησ-
"κον." Καὶ τὰ τοῦ Εὐρυλόχου,

> Ἤιομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμὰ,
> φαίδιμ' Ὀδυσσεῦ,
> Εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα
> καλά.

Τὰ γὰρ ἀλλήλων διακεκομμένα, καὶ οὐδὲν ἧττον κατεσπευσμένα, φέρει τῆς ἀγωνίας ἔμφασιν, ἅμα καὶ ἐμποδιζούσης τι καὶ συνδιωκούσης. Τοιαῦθ' ὁ Ποιητὴς ἐξήνεγκε διὰ τῶν ἀσυνδέτων.

Sect. XX. Ἄκρως δὲ καὶ ἡ ἐπὶ ταυτὸ σύνοδος τῶν

centem: "Et confligen-
"gentes clypeos (dicit
"Xenophon) impelle-
"bantur, pugnabant,
"cædebant, morieban-
"tur:" Et illa Eurylochi *apud Homerum*,

> *Ivimus, ut juſſiſti, per*
> *ſylvas, inclyte Ulyſſe,*
> *Vidimus in vallibus ex-*
> *tructas ædes pulchras.*

Quæ enim ab ſe invicem abſciſſa ſunt, et nihilominus accelerata, exhibent repræſentationem efficaciæ *cujuſdam* eodem tempore et nonnihil impedientis *curſum orationis*, et *tamen* ordinantis. Talia Poëta ille protulit per Diſſoluta.

Summoperè autem Figurarum quoque in u-

σχημάτων εἴωθε κινεῖν· ὅταν δύο ἢ τρία, οἷον κατὰ συμμορίαν ἀνακιρνάμενα, ἀλλήλοις συνερανίζῃ τὴν ἰσχὺν, τὴν πειθὼ, τὸ κάλλος. Ὁποῖα καὶ τὰ εἰς τὸν Μειδίαν, ταῖς ἀναφοραῖς ὁμοῦ καὶ τῇ διατυπώσει συναναπεπλεγμένα, τὰ ἀσύνδετα· "Πολλὰ "γὰρ ἂν ποιήσειεν ὁ τύπτων, ὧν ὁ παθὼν "ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιτο ἑτέρῳ, "τῷ σχήματι, τῷ βλέμματι, τῇ φωνῇ." Εἶθ', ἵνα μὴ ἐπὶ τῶν αὐτῶν ὁ λόγος ἰὼν στῇ, (ἐν στάσει γὰρ τὸ ἠρεμοῦν, ἐν ἀταξίᾳ δὲ τὸ πάθος, ἐπεὶ φορὰ ψυχῆς καὶ συγκί-

num Coacervatio ſolet commovere: quando duæ vel tres, quaſi per munerum ſocietatem commixtæ, ſibi invicem robur, ſuadelam, pulchritudinem conferunt. Qualia ſunt et illa in Midiam Diſſoluta, permixta ſimul cum Repetitionibus et cum *eâ Figurâ, quæ vocatur* ſub oculos Subjectio. "Multa enim "poſſit facere is, qui *a*"*liquem* verberat, (ex "quibus nonnulla ille, "qui patitur, ne referre "quidem alii poteſt) ge"ſtu, vultu, voce." Deinde, ut oratio non in iiſdem rebus incedere perſeveret, (in perſeverantiâ enim eſt quies, in ordinis verò defectu ineſt Affectus, quoniam impetus animi et commo-

νησις ἐστιν,) εὐθὺς ἐπ' ἄλλα μεθήλατο ἀσύνδετα, καὶ ἐπαναφορὰς, "τῷ σχήματι, τῷ "βλέμματι, τῇ φωνῇ, ὅταν ὡς ὑβρίζων, "ὅταν ὡς ἐχθρὸς, ὅταν κονδύλοις, ὅταν ἐπὶ "κόρρης." Οὐδὲν ἄλλο διὰ τούτων ὁ ῥήτωρ, ἢ ὅπερ ὁ τύπτων, ἐργάζεται· τὴν διάνοιαν τῶν δικαστῶν τῇ ἐπαλλήλῳ πλήττει φορᾷ. Εἶτ' ἐντεῦθεν πάλιν, ὡς αἱ καταιγίδες, ἄλλην ποιούμενος ἐμβολὴν, "ὅταν κονδύλοις, "ὅταν ἐπὶ κόρρης, φησί· ταῦτα κινεῖ, ταῦτα "ἐξίστησιν ἀνθρώπους ἀήθεις ὄντας τοῦ προπη-"λακίζεσθαι· οὐδεὶς, ταῦτα ἀπαγγέλλων, "δύναιτο τὸ δεινὸν παραστῆσαι." Οὐκοῦν τὴν μὲν φύσιν τῶν ἐπαναφορῶν καὶ ἀσυνδέτων πάντῃ

tio eſt) ſtatim ad alia tranſiliit Diſſoluta, et ad *alias* Repetitiones, "Geſ-"tu, vultu, voce; quum "ut inſultans, quum ut "inimicus, quum pug-"no, cum in malam." Nihil aliud hic efficit Rhetor, quàm is qui verberat: ſc. mentes judicum repetito impetu percutit. Deinde hinc, procellarum inſtar, rurſus aliam *judicibus* faciens aggreſſionem, "quum pug-"no, cum in malam (in-"quit:) hæc perturbant, "hæc extra ſe rapiunt "homines non aſſuetos "injurias pati: nemo eſt, "qui hæc referens po-"teſt acerbitatem eorum "ob oculos ponere." Ergo naturam Repetitionum et Diſſolutorum ubique perpetuâ variatio-

φυλάττει τῇ συνεχεῖ μεταβολῇ· οὕτως αὐτοῦ καὶ ἡ τάξις ἄτακτον, καὶ ἔμπαλιν ἡ ἀταξία ποιὰν περιλαμβάνει τάξιν.

Φέρε οὖν πρόσθες τοὺς συνδέσμους, εἰ θέλοις, ὡς ποιοῦσιν οἱ Ἰσοκράτειοι, "Καὶ μὴν "οὐδὲ τοῦτο χρὴ παραλιπεῖν, ὡς πολλὰ ἂν "ποιήσειεν ὁ τύπτων, — πρῶτον μὲν τῷ σχή-"ματι, εἶτα δὲ τῷ βλέμματι, εἶτά γε μὴν "αὐτῇ τῇ φωνῇ·" καὶ εἴσῃ, κατὰ τὸ ἑξῆς οὕτως παραγράφων, ὡς τοῦ πάθους τὸ συνδεδιωγμένον καὶ ἀποτραχυνόμενον, ἐὰν τοῖς συνδέσμοις ἐξομαλίσῃς εἰς λειότητα, ἄκεντρόν τε προσπίπτει, καὶ εὐθὺς ἔσβεσται. Ὥσπερ γὰρ, Sect. XXI.

nè cuſtodit: ſic apud illum etiam ordo confuſum quid, rurſuſque ordinis defectus certum quendam in ſe continet ordinem.

Age igitur, adde *bis* copulas, ſi vis, ut faciunt Iſocratis imitatores, "Et "ne hoc quidem oportet "omittere, quòd multa "poſſit facere is qui ver-"berat &c. primum qui-"dem geſtu, deinde vul-"tu, poſtremò autem ip-"ſâ voce," et ſenties (ſic in iis, quæ ſequuntur, addendo) id quod Affectus in ſe habet concitatum et aſperum, ſi copulis ita complanes ut læve ſit, aculeo carens ſubſidere, et ſtatim extingui. Ut enim ſi quis

εἴ τις συνδήσειε τῶν θεόντων τὰ σώματα, τὴν φορὰν αὐτῶν ἀφήρηται, οὕτως καὶ τὸ πάθος ὑπὸ τῶν συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον ἀγανακτεῖ· τὴν γὰρ ἐλευθερίαν ἀπολύει τοῦ δρόμου, καὶ τὸ ὡς ἀπ᾽ ὀργάνου τινὸς ἀφίεσθαι.

Sect. XXII. Τῆς δὲ αὐτῆς ἰδέας καὶ τὰ Ὑπερβατὰ θετέον· ἔστι δὲ λέξεων, ἢ νοήσεων ἐκ τοῦ κατ᾽ ἀκολουθίαν κεκινημένη τάξις, καὶ οἱονεὶ χαρακτὴρ ἐναγωνίου πάθους ἀληθέστατος. Ὡς γὰρ οἱ τῷ ὄντι ὀργιζόμενοι, ἢ φοβούμενοι, ἢ ἀγανακτοῦντες, ἢ ὑπὸ ζηλοτυπίας, ἢ ὑπὸ ἄλλου τινὸς (πολλὰ γὰρ καὶ ἀναρίθμητα πάθη,

colligaverit corpora currentium, abſtulit impetum eorum: ſic etiam Affectus à copulis aliiſque additamentis impeditus indignatur; prohibet enim, quo minùs liberè currat *Affectus*, et velut è machinâ quâdam contorqueatur.

Statuendum eſt verò Hyperbata ejuſdem eſſe ſpeciei: ſunt autem *Hyperbata* ordo verborum vel ſenſuum ex eo, quo naturâ res ſe ſequuntur, mutatus, certiſſimuſque velut character Affectus actuoſi. Ut enim illi, qui reverà iraſcuntur, vel timent, vel indignantur, vel qui præ invidiâ aliove quodam *affectu* (multi enim et infiniti ſunt af-

καὶ οὐδ' ἂν εἴπειν τις ὁπόσα δινοῦνται ἑκάστοτε παραπίπτοντες, ἄλλα προθέμενοι πολλάκις ἐπ' ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβαλόντες ἀλόγως, εἶτ' αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες, καὶ πάντῃ πρὸς τῆς ἀγωνίας, ὡς ὑπ' ἀστάτου πνεύματος, τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι, τὰς λέξεις, τὰς νοήσεις, τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν· οὕτω παρὰ τοῖς ἀρίστοις συγγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται· τότε γὰρ ἡ τέχνη τέλειος, ἡνίκ' ἂν φύσις εἶναι δοκῇ, ἡ δ' αὖ

fectus, et eorum numerum nemo poteſt recenſere) ubique incurſantes, alia proponentes ſæpe ad alia tranſiliunt, quædam in medio contra rationem ponentes; deinde rurſus ad prima quaſi circulo revertentes, et omnino animi impetu (velut vento inſtabili) huc et illuc ſubitâ mutatione in alium *locum* trahentes verba *et* ſenſus, ordinem ex naturali ſerie quomodocunque in plurimos flexus immutant: Sic apud optimos ſcriptores vi Hyperbatorum imitatio *eos* ducit ad ea, quæ ſunt Naturæ opera; (tunc enim Ars perfecta eſt, cum videatur eſſe Natura; è contrario verò

φύσις ἐπιτυχὴς, ὅταν λανθάνουσαν περιέχῃ τὴν τέχνην· ὥσπερ λέγει ὁ Φωκαεὺς Διονύσιος παρὰ τῷ Ἡροδότῳ, "Ἐπὶ ξυροῦ γὰρ ἀκμῆς "ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, "εἶναι ἐλευθέροις, ἢ δούλοις, καὶ τούτοις ὡς "δραπέτῃσι. Νῦν ὦν, ὑμέες ἢν μὲν βού- "λησθε ταλαιπωρίας ἐνδέκεσθαι, τὸ παρα- "χρῆμα μὲν πόνος ὑμῖν ἔσται· οἷοί τε δὲ "ἔσεσθε ὑπερβαλέσθαι τοὺς πολεμίους." Ἐν- ταῦθ' ἦν τὸ κατὰ τάξιν· "Ὦ ἄνδρες Ἴωνες, "νῦν καιρόν ἐστιν ὑμῖν πόνους ἐπιδέχεσθαι· "ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἔχεται ἡμῖν τὰ "πράγματα." Ὁ δὲ τὸ μὲν, "ἄνδρες Ἴωνες," ὑπερεβίβασεν· προεισέβαλε γοῦν εὐθὺς ἀπὸ τοῦ

Natura *tunc* voti compos *eſt*, cum latentem in ſe Artem contineat:) ut dicit apud Herodotum Dionyſius Phocaënſis, "In acie enim novaculæ "res ſunt nobis, Iones, "ut liberi ſimus, aut "ſervi, iique quaſi fugi- "tivi. Nunc igitur, vos, "ſi quidem velitis labo- "res ſuſcipere, in præ- "ſens vobis labor erit; "hoſtes ſed poteritis ſu- "perare." Ordo hîc e- rat. "O Iones, nunc "tempus eſt laborum "vobis ſuſcipiendorum; "in acie enim novaculæ "res ſunt nobis:" Ille autem hoc, "O Iones," *ex ſuo loco* in alium tranſ- tulit: initium igitur fe- cit ſtatim metu incuti-

φόβου, ὡς μηδ' ἀρχὴν φθάνων πρὸς τὸ ἐφεστὼς δέος προσαγορεῦσαι τὸν ἀκούοντα· ἔπειτα δὲ τὴν τῶν νοημάτων ἀπέστρεψε τάξιν· πρὸ γὰρ τοῦ φῆσαι, ὅτι αὐτοὺς δεῖ πονεῖν, (τοῦτο γάρ ἐστιν ὃ παρακελεύεται,) ἔμπροσθεν ἀποδίδωσι τὴν αἰτίαν, δι' ἣν πονεῖν δεῖ, "ἐπὶ ξυροῦ ἀκμῆς, φήσας, ἔχεται ἡμῖν τὰ "πράγματα·" ὡς μὴ δοκεῖν ἐσκεμμένα λέγειν, ἀλλ' ἠναγκασμένα. Ἔτι δὲ μᾶλλον ὁ Θουκυδίδης καὶ τὰ φύσει πάντως ἡνωμένα καὶ ἀδιανέμητα ὅμως ταῖς ὑπερβάσεσιν ἀπ' ἀλλήλων ἄγειν δεινότατος. Ὁ δὲ Δημοσθένης οὐχ οὕτως μὲν αὐθάδης, ὥσπερ οὗτος, πάντων

endo, ut qui omnino non primò compellârit auditores propter imminentem timorem: deinde etiam ordinem ſenſuum evertit; anteà enim quàm dicit oportere eos laborare (hoc enim eſt id ad quod *eos* hortatur) coràm reddit rationem, ob quam laborare neceſſe eſt, dicens, "in acie novaculæ res nobis ſunt:" ita ut videatur dicere non meditata, ſed ea, quæ ipſa rerum neceſſitas expreſſit. Prætereà Thucydides peritiſſimus eſt in iis, quæ omnino unita ſunt naturâ et non diviſibilia, tamen à ſe divellendis vi Hyperbatorum: Demoſthenes autem non adeò nimis creber eſt ac ille: omnium verò in hoc ge-

——Αὐτίκα (φησὶ) λαὸς ἀπείρων
Θύνων ἐπ' ἠϊόνεσι διϊστάμενοι κελάδησαν.

Ἀλλ' ἐκεῖνο μᾶλλον παρατηρήσεως ἄξιον, ὅτι ἔσθ' ὅπου προσπίπτει τὰ πληθυντικὰ μεγαλορρημονέστερα, καὶ αὐτῷ δοξοκομποῦντα τῷ ὄχλῳ τοῦ ἀριθμοῦ. Τοιαῦτα παρὰ τῷ Σοφοκλεῖ τὰ ἐπὶ τοῦ Οἰδίπου·

——Ὦ γάμοι, γάμοι,
Ἐφύσαθ' ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
Ἀνεῖτε ταὐτὸ σπέρμα, κἀπεδείξατε
Πατέρας, ἀδελφοὺς, παῖδας, αἷμ' ἐμφύλιον,
Νύμφας, γυναῖκας, μητέρας τε, χὠπόσα
Αἴσχισ' ἐν ἀνθρώποισιν ἔργα γίνεται.

——*Statim* (inquit) *populus infinitus*
Ruebant, et in litoribus
ſtantes inſonabant.

Sed illæ, *quæ Plurales ſunt*, potius obſervatu digna ſunt, quia aliquando Pluralia cadunt magis magnifica, et ſpecie grandia præ ipſâ multitudine numeri: Talia ſunt apud Sophoclem ea, quæ in *fabulâ* Oedipi *dicuntur:*

—O nuptiæ, nuptiæ,
Genuiſtis nos, et, cum genuiſtis, rurſus
Reddidiſtis idem ſemen, et oſtendiſtis
Patres, Fratres, Filios, ſanguinem cognatum,
Sponſas, uxores, matreſque, et quæcunque
Fœdiſſima inter mortales opera ſunt.

Πάντα γὰρ ταῦτα, τὰ μὲν ἓν ὄνομά ἐστιν, Οἰδίπους, ἐπὶ δὲ θατέρων Ἰοκάστη. Ἀλλ᾽ ὅμως χυθεὶς εἰς τὰ πληθυντικὰ ὁ ἀριθμὸς συνεπλήθυσε καὶ τὰς ἀτυχίας· ὡς καὶ ἐκεῖνα πεπλεόνασται,

Ἐξῆλθον Ἕκτορές τε καὶ Σαρπηδόνες.

Καὶ τὸ Πλατωνικὸν, ὃ καὶ ἑτέρωθι προτεθείμεθα, ἐπὶ τῶν Ἀθηναίων, "Οὐ γὰρ Πέλο-
"πες, οὐδὲ Κάδμοι, οὐδ᾽ Αἰγυπτοί τε καὶ
"Δαναοὶ, οὐδ᾽ ἄλλοι πολλοὶ φύσει βάρ-
"βαροι συνοικοῦσιν ἡμῖν, ἀλλ᾽ αὐτοὶ Ἕλλη-
"νες, οὐ μιξοβάρβαροι, οἰκοῦμεν," καὶ τὰ ἑξῆς· φύσει γὰρ ἐξακούεται τὰ πράγματα κομ-

Omnia enim hæc ſunt unum nomen, *hinc* Oedipus, ex alterâ autem parte Jocaſta. Sed tamen numerus, diffuſus in Pluralia, multiplicavit etiam infortunia; et, ut illa, *ſic* augetur *hoc*,

Exierunt Hectoreſque et Sarpedones,

Item illud Platonis (quod et alibi adduximus) de Athenienſibus, "Neque
"enim Pelopes, neque
"Cadmi, neque Ægypti
"et Danai, neque alii
"multi origine Barbari
"unà nobiſcum habi-
"tant; ſed *nos* ipſi Hel-
"lenes, non cum Barba-
"ris commixti, habita-
"mus," et ea quæ ſequuntur; naturaliter enim audientibus videntur res eſſe magis Sublimes, cum nomina ſic

χωδέστερα, ἀγεληδὸν οὕτως τῶν ὀνομάτων ἐπισυντιθεμένων. Οὐ μέν τοι δεῖ ποιεῖν αὐτὸ ἐπ' ἄλλων, εἰ μὴ ἐφ' ὧν δέχεται τὰ ὑποκείμενα αὔξησιν, ἢ πληθὺν, ἢ ὑπερβολὴν, ἢ πάθος, ἕν τι τούτων, ἢ τὰ πλείονα· ἐπεί τοι τὸ πανταχοῦ κώδωνας ἐξῆφθαι, λίαν σοφιστικόν.

Sect. XXIV. Ἀλλὰ μὴν καὶ τοὐναντίον τὰ ἐκ τῶν πληθυντικῶν εἰς τὰ ἑνικὰ ἐπισυναγόμενα ἐνίοτε ὑψηλοφανέστατα. « Ἔπειθ' ἡ Πελοπόννησος
« ἅπασα διεστήκει," φησί· Καὶ δὴ Φρυνίχῳ
« δρᾶμα Μιλήτου ἅλωσιν διδάξαντι, ἐς δά-
« κρυα ἔπεσε τὸ θέητρον" τὸ γὰρ ἐκ τῶν διη-

gregatim accumulentur. At oportet non hoc facere in aliis, quàm in iis, quorum ſubjecta *materia* recipit incrementum, vel multitudinem, vel hyperbolen, vel affectum, unum quiddam ex his, vel plura: quoniam tintinnabula ubivis ſuſpendi, valde ſophiſtam ſapit.

Sed et contra illa, quæ ex Pluralibus in Singularia colliguntur, habent nonnunquam ſpeciem maximam Sublimitatis.
" Deinde omnis Pelo-
" ponneſus *in factiones*
" diſceſſit," inquit: Et
" quum Phrynichus fa-
" bulam *dictam* Mileti
" excidium docuiſſet, ef-
" fuſum eſt in lacrymas
" Theatrum:" converſio enim numeri ex iis, quæ

ρημένων εἰς τὰ ἡνωμένα ἐπισυστρέψαι τὸν ἀριθμὸν, σωματοειδέστερον. Αἴτιον δ' ἐπ' ἀμφοῖν τοῦ κόσμου ταὐτὸν οἶμαι· ὅπου τε γὰρ ἑνικὰ ὑπάρχει τὰ ὀνόματα, τὸ πολλὰ ποιεῖν αὐτὰ, παρὰ δόξαν ἐμπαθοῦς· ὅπου τε πληθυντικὰ, τὸ εἰς ἕν τι εὔηχον συγκορυφοῦν τὰ πλείονα, διὰ τὴν εἰς τοὐναντίον μεταμόρφωσιν τῶν πραγμάτων, ἐν τῷ παραλόγῳ.

Ὅταν τε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγῃς ὡς γινόμενα καὶ παρόντα, οὐ διήγησιν ἔτι τὸν λόγον, ἀλλ' ἐναγώνιον πρᾶγμα ποιήσεις. “Πεπτωκὼς δέ τις, φησὶν ὁ Sect. XXV.

in plura diviſa ſunt, ad ea, quæ unitate conjuncta ſunt, quaſi corporis molem præ ſe magis fert. In utriſqne verò cauſam ornatûs eandem eſſe opinor; namque ubi vocabula ſunt Singularia, ea Pluralia facere, ejus eſt, qui præter expectationem afficitur; et ubi *vocabula ſunt* Pluralia, collectio plurium in unum aliquid ſonorum, eſt propter commutationem rerum in contrarium, res inopinata.

Quando ſanè ea, quæ temporibus præterita ſunt, inducas quaſi quæ *nunc* fiant et adſint, orationem facies non jam narrationem, ſed rem veritatem ipſam ob oculos ponentem. “Cum ceci-“ diſſet quidam (inquit

"Ξενοφῶν, ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος, παίει τῇ μαχαίρᾳ εἰς τὴν γαστέρα "τὸν ἵππον· ὁ δὲ σφαδάζων ἀποσείεται τὸν "Κῦρον, ὁ δὲ πίπτει." Τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδίδης.

Sect. XXVI. Ἐναγώνιος δ' ὁμοίως καὶ ἡ τῶν προσώπων ἀντιμετάθεσις, καὶ πολλάκις ἐν μέσοις τοῖς κινδύνοις ποιοῦσα τὸν ἀκροατὴν δοκεῖν στρέφεσθαι·

Φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
Ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.

Καὶ ὁ Ἄρατος,

Μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ.

"Xenophon) ſubter equum Cyri et proculcaretur, ferit equi ventrem gladio; ille autem ægrè ferens excutit Cyrum, hic verò decidit." Talis in pleriſque eſt Thucydides.

Rem quoque ipſam ob oculos ponit Perſonarum commutatio, et ſæpiſſimè facit, ut auditor videatur in mediis periculis verſari:

Diceres illos indefatigatos et indomitos ſibi invicem
Occurrere in pugnâ; adeò concitatè pugnabant.

Et Aratus,

Ne in illo menſe circumluare mari.

Ὧδέ που καὶ ὁ Ἡρόδοτος, " Ἀπὸ δὲ Ἐλε-
" φαντίνης πόλεως ἄνω πλεύσεαι, καὶ ἔπειτα
" ἀπίξεαι ἐς πεδίον λεῖον· —— διεξελθὼν
" δὲ τοῦτο τὸ χωρίον, αὖθις εἰς ἕτερον πλοῖον
" ἐμβὰς πλεύσεαι δύ' ἡμέρας, καὶ ἔπειτα
" ἵξεαι ἐς πόλιν μεγάλην, ᾗ ὄνομα Με-
" ρόη". Ὁρᾷς, ὦ ἑταῖρε, ὡς παραλαβών σου
τὴν ψυχὴν διὰ τῶν τόπων ἄγει, τὴν ἀκοὴν
ὄψιν ποιῶν· πάντα δὲ τὰ τοιαῦτα, πρὸς
αὐτὰ ἀπερειδόμενα τὰ πρόσωπα, ἐπ' αὐτῶν
ἵστησι τὸν ἀκροατὴν τῶν ἐνεργουμένων. Καί,
ὅταν ὡς οὐ πρὸς ἅπαντας, ἀλλ' ὡς πρὸς
μόνον τινὰ λαλῇς,

Sic etiam Herodotus; " Ab urbe verò Ele- " phantinâ ſurſum navi- " gabis, et deinde ve- " nies ad campum pla- " num : —— tranſiens " autem hunc locum, i- " terum aliud navigium " conſcendens biduum " navigabis, et poſteà " venies ad magnam ur- " bem, cui nomen *eſt* " Meroë." Vides, amice, quomodo *velut manu* prehendens animum tuum per loca ducit, faciens te videre ea quæ audis: omnia autem hujuſmodi, quæ in ipſas incumbunt perſonas, faciunt auditorem iis ipſis rebus, quæ aguntur, intereſſe. Et, ubi loqueris velut non ad omnes, ſed velut ad unum quendam,

Τυδείδην δ᾽ οὐκ ἂν γνοίης, ποτέροισι μετείη,

ἐμπαθεστερόν τε αὐτὸν ἅμα, καὶ προσεκτικώτερον, καὶ ἀγῶνος ἔμπλεων ἀποτελέσεις, ταῖς εἰς ἑαυτὸν προσφωνήσεσιν ἐξεγειρόμενον.

Sect. XXVII. Ἔτι γε μὴν ἔσθ᾽ ὅτε περὶ προσώπου διηγούμενος ὁ συγγραφεὺς, ἐξαίφνης παρενεχθεὶς εἰς τὸ αὐτὸ πρόσωπον ἀντιμεθίσταται· καὶ ἔστι τὸ τοιοῦτον εἶδος ἐμβολή τις πάθους,

Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
Νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ᾽ ἔναρα βροτόεντα·

Tydides verò inter quos eſſet, non potuiſſes cognoſcere,

commotioremque ipſum ſimul, et attentiorem plenumque re, quæ cum contentione agitur, effeceris, quippe qui excitetur iis, quæ ad ipſum factæ ſunt, allocutionibus.

Prætereà eſt ubi de *quâdam* perſonâ narrans ſcriptor, repente abreptus in eandem illam perſonam ſe convertit: et hujuſmodi ſpecies *Figurarum* eſt eruptio quædam irruentis Affectûs,

Hector verò Trojanos hortabatur, altâ voce clamans,
Ut in naves irruerent, omitterentque ſpolia ſanguinolenta:

Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα
νοήσω,

Αὐτοῦ οἱ θάνατον μητίσομαι. ——

Οὐκοῦν τὴν μὲν διήγησιν, ἅτε πρέπουσαν, ὁ Ποιητὴς προσῆψεν ἑαυτῷ· τὴν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξαπίνης, οὐδὲν προδηλώσας, περιέθηκεν. Ἐψύχετο γὰρ, εἰ παρενετίθει, "Ἔλεγε δὲ τοῖά τινα "καὶ τοῖα ὁ Ἕκτωρ·" νυνὶ δ' ἔφθακεν ἄφνω τὸν μεταβαίνοντα ἡ τοῦ λόγου μετάβασις. Διὸ καὶ ἡ πρόσχρησις τοῦ σχήματος τότε, ἡνίκα ὀξὺς ὁ καιρὸς ὢν διαμέλλειν τῷ γράφοντι μὴ διδῷ, ἀλλ' εὐθὺς ἐπαναγκάζῃ μεταβαίνειν ἐκ προσώπων εἰς πρόσωπα· ὡς

Quem autem ego ſeorſim à navibus manentem animadvertero,

Ibi ei mortem inferam. ——

Ergo narrationem, quippe quæ *illum* decuit, Poëta ſibi ſumpſit, abruptam verò comminationem, nihil ante ſignificans, ſubitò tribuit fervori Ducis. Frigida enim eſſet *comminatio*, ſi interpoſuit ille, "Dixit "autem talia, et talia "Hector:" nunc verò prævenit ipſum celeriter tranſeuntem tranſitus orationis. Quare et oportet uti hâc Figurâ tunc, cum brevitas temporis non permittat ſcriptori cunctari, ſed eum ſtatim cogat tranſire à perſonis *aliis* ad *alias* perſonas. Ut

καὶ παρὰ τῷ Ἑκαταίῳ. "Κῆυξ δὲ, ταῦτα "δεινὰ ποιούμενος, αὐτίκα ἐκέλευε τοὺς "Ἡρακλείδας ἐκχωρεῖν· Οὐ γὰρ ὑμῖν δυ-"νατός εἰμι ἀρήγειν· ὡς μὴ ὦν αὐτοί τε "ἀπόλησθε, κἀμὲ τρώσητε, ἐς ἄλλον τινὰ "δῆμον ἀποίχεσθε." Ὁ μὲν γὰρ Δημοσθένης κατ' ἄλλον τινὰ τρόπον ἐπὶ τοῦ Ἀριστογεί-τονος ἐμπαθὲς τὸ πολυπρόσωπον καὶ ἀγχί-στροφον παρέστησεν· "Καὶ οὐδεὶς ὑμῶν χολὴν, "φησι, οὐδ' ὀργὴν ἔχων εὑρεθήσεται, ἐφ' "οἷς ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς βιάζεται; "ὃς, ὦ μιαρώτατε ἁπάντων, κεκλεισμένης σοι "τῆς παῤῥησίας οὐ κιγκλίσιν, οὐδὲ θύραις, ἃ καὶ

etiam apud Hecatæum, "Ceyx autem, hæc mo-"leſtè ferens, protinus "juſſit, ut Heraclidæ, "poſteri, emigrarent: "Neque enim Vobis "poſſum opem ferre: "ut igitur non ipſique "pereatis, et mihi dam-"num inferatis, ad a-"lium quendam popu-"lum abite." Demo-ſthenes quidem alio quodam modo *in oratione* de Ariſtogitone plenam affectu reddidit *hanc* plurium perſonarum inductionem, celeremque *ab aliis ad alias* commutationem. "Et nemo veſ-"trum (inquit) invenie-"tur irâ vel indigna-"tione motus ob ea, "quæ impurus iſte et "impudens vi facit? "qui, O omnium im-"puriſſime, cum præ-"cludatur tibi licentia "non cancellis, neque "januis, quas res fortè

"παρανοίξειεν ἄν τις —" — ἐν ἀτελεῖ τῷ νῷ ταχὺ διαλλάξας, καὶ μονονοὺ μίαν λέξιν διὰ τὸν θυμὸν εἰς δύο διασπάσας πρόσωπα, "ὅς, ὦ μιαρώτατε," εἶτα τὸν πρὸς τὸν Ἀριστογείτονα λόγον ἀποστρέψας, καὶ ἀπολιπεῖν δοκῶν, ὅμως διὰ τοῦ πάθους πολὺ πλέον ἐπέστρεψεν· οὐκ ἄλλως ἡ Πηνελόπη,

Κῆρυξ, τίπτε δέ σε πρόεσαν μνηστῆρες
ἀγαυοί;
Ἦ εἰπέμεναι δμωῇσιν Ὀδυσσῆος θείοιο
Ἔργων παύσασθαι, σφίσι δ' αὐτοῖς δαῖτα
πένεσθαι;

"aliquis etiam aperire "poſſit" &c. In ſententiâ nondum abſolutâ ſubitò mutans, unamque dictionem, iræ impetu, tantùm non in duas perſonas diſtrahens, "qui "(O impuriſſime;)" deinde, cum ſermonem, quo jam Ariſtogitonem allocutus fuerat, *ab illo* avertiſſet, *illumque* reliquiſſe videretur, tamen *ad illum* vi Affectûs multo magis *orationem* convertit: non aliter quàm Penelope, *quæ dicit*,

Præco, cur te præmiſerunt Proci inclyti?
An ut diceres ancillis Ulyſſis divini
Ut ab operibus ſuis ceſſarent, ipſis autem convivium appararent?

Μὴ μνηστεύσαντες, μηδ' ἄλλοθ' ὁμιλήσαντες,
Ὕστατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν·
Οἳ θάμ' ἀγειρόμενοι βίοτον κατακείρετε πολλὸν,
Κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
Ὑμετέρων τῶν πρόσθεν ἀκούετε παῖδες ἐόντες,
Οἷος Ὀδυσσεὺς ἔσκε.

XXVIII. Sect. Καὶ μέν τοι καὶ ἡ Περίφρασις ὡς οὐχ ὑψηλοποιὸν, οὐδεὶς ἂν (οἶμαι) διστάσειεν. Ὡς γὰρ ἐν Μουσικῇ διὰ τῶν παραφώνων καλουμένων ὁ κύριος φθόγγος ἡδίων ἀποτε-

Utinam illi, quos vellem non nuptias ambiiſſe,
alienâque in domo verſatos fuiſſe,
Ultimò et extremò nunc hîc cœnent:
Qui ſimul congregati conſumitis multum,
Bona Telemachi prudentis; neque unquam ex patribus
Veſtris, qui ante vos erant, audîſtis, pueri cum eſſetis,
Qualis Ulyſſes fuerit.

Et ſanè, ſit necne Periphraſis effectrix Sublimitatis, nemo (opinor) poteſt dubitare. Ut enim in Muſicâ illi, quos Paraphonos vocant, faciunt principem ſonum

λεῖται, οὕτως ἡ περίφρασις πολλάκις συμφθέγγεται τῇ κυριολογίᾳ, καὶ εἰς κόσμον ἐπιπολὺ συνηχεῖ· καὶ μάλιστ᾽ ἂν μὴ ἔχῃ φυσῶδές τι καὶ ἄμουσον, ἀλλ᾽ ἡδέως κεκραμένον. Ἱκανὸς δὲ τοῦτο τεκμηριῶσαι καὶ Πλάτων κατὰ τὴν εἰσβολὴν τοῦ Ἐπιταφίου, "Ἔργῳ "μὲν ἡμῖν οἵδ᾽ ἔχουσι τὰ προσήκοντα σφίσιν "αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρ-"μένην πορείαν· προπεμφθέντες κοινῇ μὲν "ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ἕκαστος ὑπὸ τῶν "προσηκόντων." Οὐκοῦν τὸν θάνατον εἶπεν "εἱμαρμένην πορείαν," τὸ δὲ τετυχηκέναι "τῶν νομιζομένων, προπομπήν τινα δημο-

dulciorem: ſic Periphraſis ſæpe concinit cum proprietate verborum, et ad ornatum *faciendum* plurimùm *cum eâ* conſpirat: præſertim ſi habeat aliquid non inflatum et abſonum, ſed ſuaviter attemperatum. Poteſt autem hoc exemplo confirmare etiam Plato in initio Concionis Funebris; "Reverà hi à nobis habent ea, quæ ipſis debita ſunt, quibus potiti iter fato deſtinatum proficiſcuntur: deducti publicè quidem a civitate, privatìm verò unuſquiſque à ſuis neceſſariis." Ergo mortem vocat "iter fato deſtinatum," et conſequi ea quæ juſta ſunt, *vocat* deductionem "quandam publicam *fac-*

“σίαν ὑπὸ τῆς πατρίδος.” Ἆρα δὲ τούτοις μετρίως ὤγκωσε τὴν νόησιν, ἣν ψιλὴν λαβὼν τῇ λέξει ἐμελοποίησε, καθάπερ ἁρμονίαν τινὰ τὴν ἐκ τῆς περιφράσεως περιχεάμενος εὐμέλειαν; Καὶ Ξενοφῶν, “Πόνον δὲ τοῦ “ζῆν ἡδέως ἡγεμόνα νομίζετε· κάλλιστον δὲ “πάντων καὶ πολεμικώτατον κτῆμα εἰς τὰς “ψυχὰς συγκεκόμισθε· ἐπαινούμενοι γὰρ “μᾶλλον, ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε.” Ἀντὶ τοῦ “πονεῖν θέλετε,” πόνον ἡγεμόνα τοῦ ζῆν ἡδέως ποιεῖσθε,” εἰπών, καὶ τ' ἄλλ' ὁμοίως ἐπεκτείνας, μεγάλην τινὰ ἔννοιαν τῷ ἐπαίνῳ προσπεριωρίσατο. Καὶ τὸ ἀμί-

“*tam* à patria.” Num moderatè his extulit ſenſum? cui aſſumens nudam elocutionem, modulatus eſt *eam*, ſuavitate, quaſi harmoniâ quâdam, ductâ ex Periphraſi eam circumfundens. Et Xenophon *inquit*, “Labores verò pu“tatis duces ad jucundè “vivendum: animos au“tem *veſtros* inſtruxiſtis “poſſeſſione omnium “pulcherrimâ et bellato“ribus aptiſſimâ; quip“pe qui laude magis, “quàm omnibus aliis “*rebus*, gaudetis.” Vice “vultis laborare,” dicendo, “labores putatis du“ces ad jucundè viven“dum,” aliaque ſimiliter dilatando, incluſit in laudatione *ſuâ* magnificum quendam ſenſum: Et

μιμητὸν ἐκεῖνο τοῦ Ἡροδότου, "Τῶν δὲ Σκυ-
"θέων τοῖς συλήσασι τὸ ἱερὸν ἐνέβαλεν ἡ
"θεὸς θήλειαν νοῦσον."

Ἐπίκαιρον μέντοι τὸ πρᾶγμα ἡ περί- Sect. XXIX.
φρασις τῶν ἄλλων πλέον, εἰ μὴ ἀσυμμέ-
τρως τινὶ λαμβάνοιτο· εὐθὺς γὰρ ἀβλεμὲς
προσπίπτει, κουφολογίας τε ὄζον καὶ παχύ-
τητος. Ὅθεν καὶ τὸν Πλάτωνα (δεινὸς γὰρ ἀεὶ
περὶ σχῆμα, εἰ κἄν τισιν ἄκαιρος) ἐν τοῖς
νόμοις λέγοντα, ὡς "οὔτε ἀργυροῦν δεῖ πλοῦ-
"τον, οὔτε χρυσοῦν ἐν πόλει ἱδρυμένον ἐᾶν
"οἰκεῖν," διαχλευάζουσιν· ὡς, εἰ πρόβατα,

inimitabile eſt illud Herodoti, "Iis vero Scythis, qui ſpoliârunt templum, Dea immiſit fæmineum morbum."

Periphraſis ſanè res eſt periculo magis obnoxia, quàm aliæ *Figuræ*, niſi moderatè ab aliquo uſurpetur: ſtatim enim id, quod imbecille eſt languet, et inane *quiddam* redolens et pinguiſſimum. Unde et Platonem (multus enim ſemper eſt in Figurâ *utendâ*, et in quibuſdam *locis* inopportunè *multus*) derident *quidam* dicentem in Legibus, quòd "oportet permittere neque argenteas opes, neque aureas in urbe ſedes ſuas locantes habitare:" Adeo ut, ſi oves

φασιν, [καὶ βοῦς] ἐκώλυε κεκτῆσθαι, "δῆ-
"λον, ὅτι προβάτειον ἂν καὶ βόειον πλοῦτον
"ἔλεγεν." Ἀλλὰ γὰρ ἅλις ὑπὲρ τῆς εἰς τὰ ὑψηλὰ τῶν σχημάτων χρήσεως ἐκ παρενθήκης τοσαῦτα πεφιλολογήσθω, Τερεντιανὲ φίλτατε· πάντα γὰρ ταῦτα παθητικωτέρους καὶ συγκεκινημένους ἀποτελεῖ τοὺς λόγους. Πάθος δὲ ὕψους μετέχει τοσοῦτον, ὁπόσον ἦθος ἡδονῆς.

Sect. XXX. Ἐπειδὴ μέντοι ἡ τοῦ λόγου νόησις, ἥ τε φράσις, τὰ πλείω δι' ἑκατέρου διέπτυκται, ἴθι δή, αὐτοῦ τοῦ φραστικοῦ μέρους εἴ τινα λοιπὰ ἔτι, προσεπιθεασώμεθα. Ὅτι μὲν

et boves (dicit *aliquis)* vetuiſſet poſſidere, "con-
"ſtet eum dicturum fu-
"iſſet ovinas et bovinas
"opes." Sed enim ſatis de uſu Figurarum ad Sublimia *facienda* per digreſſionem hæc dicta ſint, Terentiane chariſſime: omnia enim hæc perficiunt pleniora affectibus et commota: affectus autem tantum particeps eſt Sublimitatis, quantum morata oratio jucunditatis.

Quoniam ſenſus orationis et dictio plerumque à ſe invicem explicantur, agedum, ſi adhuc ſuperſint quædam illius ipſius partis, quæ ad dictionem attinet, ea conſideremus, *Vereor ne ſupervacaneum ſit iis, qui id ſciunt, dicere*; quòd

τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκλογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας, καὶ ὡς πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ' ἄκρον ἐπιτήδευμα, μέγεθος ἅμα, κάλλος, εὐπίνειαν, βάρος, ἰσχὺν, κράτος, ἔτι δὲ τ' ἄλλα, ἂν ὦσί τινα, τοῖς λόγοις, ὥσπερ ἀγάλμασι καλλίστοις, δι' αὐτῆς ἐπανθεῖν παρασκευάζουσα, καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότας διεξιέναι· φῶς γὰρ τῷ ὄντι ἴδιον τοῦ νοῦ τὰ καλὰ ὀνόματα.

Ὁ μέντοι γε ὄγκος αὐτῶν οὐ πάντῃ χρειώ-

delectus quidem propriorum et illuſtrium *ſimul* verborum mirificè ducit et permulcet auditores: quódque *hujuſmodi delectus* omnibus Rhetoribus et proſaïcis ſcriptoribus ſummum *eſt* ſtudium, quippe qui facit, ut per ſe innaſcantur ſcriptis, velut imaginibus pulcherrimis, Sublimitas ſimul, ornatus, antiquitatis color, pondus, vis, robur, aliaque adhuc ſi quæ ſint; et qui velut inſerit rebus animam quandam voce utentem, *Vereor (inquam,)* ne ſit etiam ſuperfluum iis, qui id ſciunt, hæc exponere: ſplendida enim verba ſunt reverà lux propria mentis.

Faſtus quidem illorum non eſt ubique utilis:

δης· ἐπεὶ τοῖς μικροῖς πράγμασι περιτιθέναι μεγάλα καὶ σεμνὰ ὀνόματα ταυτὸν ἂν φαίνοιτο, ὡς εἴ τις τραγικὸν προσωπεῖον μέγα παιδὶ περιθείη νηπίῳ. Πλὴν ἐν μὲν ποιήσει καὶ ἱ * * * * *

Sect. XXXI. * * βιωτικώτατον, καὶ γόνιμον τόδ' Ἀνακρέοντος, "Οὐκέτι Θρηϊκίης ἐπιστρέφομαι." Ταύτῃ καὶ τοῦ Θεοπόμπου ἐκεῖνο τὸ ἐπαινετὸν, διὰ τὸ ἀνάλογον, ἔμοιγε σημαντικώτατα ἔχειν δοκεῖ· ὅπερ ὁ Καικίλιος, οὐκ οἶδ' ὅπως, καταμέμφεται. "Δεινὸς ὢν, "φησὶν, ὁ Φίλιππος ἀναγκοφαγῆσαι πράγ-"ματα." Ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε τοῦ

quoniam res parvas veſtire magnis et nobilibus verbis, idem poſſit videri, ac ſi quis prægrandem perſonam tragicam infanti puero imponat. Sed in Poëſi quidem et * * * * *

* * maxime vulgare, et *tamen* naturale eſt illud Anacreontis: "non "amplius ad Thraciam "me adverto." Eodem modo etiam laudabile illud Theopompi videtur mihi ſignificantiſſimè ſe habere, propterea quòd *vocabulum rei* benè reſpondet: quod tamen Cæcilius, neſcio cur, criminatur. "Cum Philippus, "inquit, valeret res ne-"ceſſitate cogente devo-"rare." Eſt quidem verbum vulgare nonnunquam *verbo* ornato multò

κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινώσκεται γὰρ αὐτόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δ' συνήθες ἤδη πιστότερον. Οὐκοῦν ἐπὶ τοῦ τὰ αἰσχρὰ καὶ ῥυπαρὰ τλημόνως καὶ μεθ' ἡδονῆς, ἕνεκα πλεονεξίας καρτεροῦντος, τὸ "ἀναγκοφαγεῖν τὰ πράγματα" ἐναργέστατα παρείληπται. Ὧδέ πως ἔχει καὶ τὰ Ἡροδότεια· "Ὁ Κλεομένης, φησὶ, μανεὶς τὰς ἑαυτοῦ σάρκας ξιφιδίῳ κατέταμεν εἰς λεπτὰ, ἕως ὅλον καταχορδεύων ἑαυτὸν διέ-"φθειρεν." Καὶ, "Ὁ Πύθης ἕως τοῦδε "ἐπὶ τῆς νεὼς ἐμάχετο, ἕως ἅπας κατεκρε-"ουργήθη." Ταῦτα γὰρ ἐγγὺς παραξύει τὸν ἰδιώτην, ἀλλ' οὐκ ἰδιωτεύει τῷ σημαντικῷ.

ſignificantius; illico enim ex communi vitâ cognoſcitur, et id, quod uſitatum eſt, *eo* eſt jam credibilius: ergo illud "neceſſitate cogente res "devorare" ſignificantiſſimè uſurpatur de illo, qui fœda et ſordida patienter jucundéque ambitionis cauſâ perfert. Sic etiam ſe habent illa Herodoti: "Cleomenes, "inquit, inſanus factus "ſuam carnem enſe minutim diſſecuit, donec "ſe totum reſcindendo "periit." Et, "Pythes "eo uſque in navi pugnavit, donec totus in "fruſta carnis conciſus "eſt." Hæc enim prope accedunt ad *ſermonem* vulgarem, ſed non vulgaria ſunt ſignificatione.

Sect. XXXII.

Περὶ δὲ πλήθους καὶ Μεταφορῶν, ὁ μὲν Καικίλιος ἔοικε συγκατατίθεσθαι τοῖς δύο, ἢ τὸ πλεῖστον τρεῖς ἐπὶ ταυτοῦ νομοθετοῦσι τάττεσθαι. Ὁ γὰρ Δημοσθένης ὅρος καὶ τῶν τοιούτων· ὁ τῆς χρείας δὲ καιρὸς, ἔνθα τὰ πάθη χειμάρρου δίκην ἐλαύνεται, καὶ τὴν πολυπλήθειαν αὐτῶν, ὡς ἀναγκαίαν ἐνταῦθα, συνεφέλκεται. "Ἄνθρωποι, φησὶ,
" μιαροὶ, καὶ ἀλάστορες, καὶ κόλακες ἠκρωτη-
" ριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν
" ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν
" Φιλίππῳ, νυνὶ δ' Ἀλεξάνδρῳ, τῇ γαστρὶ
" μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν· τὴν

Quod ad multitudinem etiam Metaphorarum attinet, Cæcilius quidem videtur aſſentiri iis, qui docent duas *tantum*, vel ad ſummum tres unà ponendas eſſe: Demoſthenes enim norma eſt etiam hujuſmodi *rerum*; tempuſque iis utendi eſt, ubi affectus torrentis inſtar volvuntur, et ſecum rapiunt multitudinem earum, tanquam hìc neceſſariam.
" Homines (inquit) im-
" puri, et peſtiferi, et
" adulatores, qui fœdè
" lacerârunt ſuas unuſ-
" quiſque patrias, qui li-
" bertatem *ſuam* propi-
" nârunt prius Philippo,
" nunc verò Alexandro;
" qui metiuntur felicita-
" tem ventre, iiſque, quæ
" fœdiſſima ſunt; qui-

" δι' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην,
" ἃ τοῖς πρότερον Ἕλλησι ὅροι τῶν ἀγαθῶν
" ἦσαν καὶ κανόνες, ἀνατετροφότες." Ἐνταῦθα τῷ πλήθει τῶν τροπικῶν ὁ κατὰ τῶν προδοτῶν ἐπιπροσθεῖ τοῦ Ῥήτορος θυμός. Διόπερ ὁ μὲν Ἀριστοτέλης καὶ ὁ Θεόφραστος μειλίγματά φασί τινα τῶν θρασειῶν εἶναι ταῦτα μεταφορῶν, τὰ, "ὡσπερεὶ φάναι, καὶ, " οἱ-
" ονεί, καὶ, " εἰ χρὴ τοῦτον εἰπεῖν τὸν τρόπον," καὶ, " εἰ δεῖ παρακινδυνευτικώτερον λέξαι." Ἡ γὰρ ὑποτίμησις, φασὶν, ἰᾶται τὰ τολμηρά. Ἐγὼ δὲ καὶ ταῦτα μὲν ἀποδέχομαι, ὅμως δὲ πλήθους καὶ τόλμης μεταφορῶν (ὅπερ ἔφην καὶ ἐπὶ τῶν σχημάτων) τὰ εὔκαιρα καὶ σφοδρὰ

" que everterunt libertatem et *conditionem* nullum dominum habendi, quæ res prioribus Græcis fines normæque erant bonorum." Hic multitudine Metaphorarum ira Rhetoris in proditores proruit. Quare Ariſtoteles et Theophraſtus dicunt hæc eſſe quædam lenimenta audacium Metaphorarum, ſcilicet, " ut ita loquar," et, " quaſi," et " ſi hoc modo loqui liceat," et, " ſi oportet audaciùs dicere:" Correctio enim, inquiunt, audacibus medetur. Ego verò etiam hæc probo, tamen dico (id quod dixi etiam de Figuris) tempeſtivè adhibitos ve-

πάθη, καὶ τὸ γενναῖον ὕψος εἶναί φημι ἴδιά τινα ἀλεξιφάρμακα· ὅτι τῷ ῥοθίῳ τῆς φορᾶς ταυτὶ πέφυκεν ἅπαντα τ' ἄλλα παρασύρειν καὶ προωθεῖν, μᾶλλον δὲ καὶ ὡς ἀναγκαῖα πάντως εἰσπράττεσθαι τὰ παράβολα, καὶ οὐκ ἐᾷ τὸν ἀκροατὴν σχολάζειν περὶ τὸν τοῦ πλήθους ἔλεγχον, διὰ τὸ συνενθουσιᾶν τῷ λέγοντι. Ἀλλὰ μὴν ἔν γε ταῖς τοπηγορίαις καὶ διαγραφαῖς οὐκ ἄλλό τι οὕτως κατασημαντικὸν, ὡς οἱ συνεχεῖς καὶ ἐπάλληλοι τρόποι· δι' ὧν καὶ παρὰ Ξενοφῶντι ἡ τ' ἀνθρωπίνου σκήνους ἀνατομὴ πομπικῶς, καὶ ἔτι

hementeſque affectus, et egregiam Sublimitatem, eſſe propria quædam remedia multitudinis audaciæque Metaphorarum: quia iis naturale eſt impetûs *ſui* vehementiâ omnia alia ſecum abripere et propellere, potius verò exigere audacia tanquam omnino neceſſaria; neque permittunt, ut auditori otium ſit ad multitudinem Metaphorarum reprehendendam, propterea quòd eodem, quo is qui dicit, ſacro furore afflatur. Atque in *communium* locorum tractationibus et in deſcriptionibus nihil aliud tam ſignificans eſt, quàm frequentes ſibique inſtantes Tropi: quibus et apud Xenophontem anatome humani corporis magnifico more depingitur, et adhuc magis

μᾶλλον ἀναζωγραφεῖται θείως παρὰ τῷ Πλάτωνι· “ Τὴν μὲν κεφαλὴν αὐτοῦ φησιν
“ ἀκρόπολιν· ἰσθμὸν δὲ μέσον διῳκοδομῆσθαι
“ μεταξὺ [αὐτῆς καὶ] τοῦ στήθους τὸν αὐχένα,
“ σφονδύλους τε ὑπεστηρίχθαι φησὶν οἷον στρό-
“ φιγγας· καὶ τὴν μὲν ἡδονὴν ἀνθρώποις εἶναι κα-
“ κῶν δέλεαρ, γλῶσσαν δὲ γεύσεως δοκίμιον·
“ ἄναμμα δὲ τῶν φλεβῶν τὴν καρδίαν, καὶ
“ πηγὴν τοῦ περιφερομένου σφοδρῶς αἵμα-
“ τος, εἰς τὴν δορυφορικὴν οἴκησιν κατεταγ-
“ μένην· τὰς δὲ διαδρομὰς τῶν πόρων ὀνο-
“ μάζει στενωπούς· τῇ δὲ πηδήσει τῆς καρδίας
“ ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ, καὶ τῇ τοῦ θυμοῦ

divino more apud Platonem: “ Caput ejus di-
“ cit *Plato* eſſet arcem;
“ collum verò inter *hoc*
“ *et* pectus medium, *quaſi*
“ Iſthmum, ædificatum
“ eſſe; dicitque verte-
“ bras *ei* ſuppoſitas eſſe
“ velut cardines; et vo-
“ luptatem hominibus
“ eſſe eſcam malorum,
“ linguamque ſaporis in-
“ dicem; cor verò eſſe
“ nodum venarum fon-
“ temque ſanguinis ve-
“ hementi impetu cir-
“ cumfluentis, quod in
“ benè cuſtoditâ ſtatione
“ collocatum eſt: et me-
“ atuum tranſitus appel-
“ lat angiportus: dicit-
“ que, quòd *Dii* molien-
“ tes auxilium ſubſulta-
“ tioni cordis (*quæ fit*,
“ dum expectantur mala,
“ iraque concitatur, poſt-

“ ἐπεγέρθῃ, ἐπειδὴ διάπυρος ἦν, ἐπικουρίαν
“ μηχανώμενοι, φησὶ, τὴν τοῦ πλεύμονος
“ ἰδέαν ἐνεφύτευσαν, μαλακὴν καὶ ἄναιμον
“ καὶ σήραγγας ἐντὸς ἔχουσαν, οἷον μά-
“ λαγμα· ἵν', ὁ θυμὸς ὁπότ' ἐν αὐτῇ ζέσῃ,
“ πηδῶσα εἰς ὑπεῖκον, μὴ λυμαίνηται· καὶ
“ τὴν μὲν τῶν ἐπιθυμιῶν οἴκησιν προσεῖπεν
“ ὡς γυναικωνῖτιν, τὴν τοῦ θυμοῦ δὲ ὥσπερ
“ ἀνδρωνῖτιν· τόν γε μὴν σπλῆνα τῶν ἐντὸς
“ μαγεῖον, ὅθεν πληρούμενος τῶν ἀποκαθαι-
“ ρομένων μέγας καὶ ὕπουλος αὔξεται· μετὰ
“ δὲ ταῦτα σαρξὶ πάντα (φησὶ) κατεσκίασαν,
“ προβολὴν τῶν ἔξωθεν τὴν σάρκα, οἷον τὰ

“ quam excanduit,) *cor-*
“ *pori* pulmonem inſe-
“ ruerunt mollem et ex-
“ anguem, et *quaſi* ſpon-
“ giarum foramina intus
“ habentem, quale eſt
“ malagma; ut *cor*, cùm
“ ira in eo ferveat, in id
“ quod cedit ſubſultans,
“ non lædatur: Et ſe-
“ dem cupiditatum ap-
“ pellavit quaſi conclave
“ fœminarum, ſedem ve-
“ rò iræ quaſi conclave
“ virorum; et lienem
“ culinam eorum, quæ
“ intus ſunt; unde, cum
“ adimpleatur purga-
“ mentis, magnus et
“ molliter tumidus au-
“ getur: poſt hæc au-
“ tem, inquit, *Dii* car-
“ nibus omnia texerunt,
“ præponentes *iis* car-
“ nem, velut faſcias, *ut*
“ *ſit* munimentum con-

“ πλήματα, προσθέμενοι· νομὴν δὲ σαρκῶν
“ ἔφη τὸ αἷμα· τῆς δὲ τροφῆς ἕνεκα, φησὶ,
“ διωχέτευσαν τὸ σῶμα, τέμνοντες ὥσπερ
“ ἐν κήποις ὀχετοὺς, ὡς ἔκ τινος νάματος
“ ἐπιόντος, ἀραιοῦ ὄντος αὐλῶνος τοῦ σώμα-
“ τος, τὰ τῶν φλεβῶν ῥέοι νάματα· ἡνίκα καὶ
“ ἡ τελευτὴ παρέστη, λύεσθαι φησὶ τὰ τῆς ψυ-
“ χῆς, οἱονεὶ νεὼς, πείσματα, μεθεῖσθαί τε
“ αὐτὴν ἐλευθέραν.” Ταῦτα καὶ τὰ παρα-
πλήσια μυρί᾽ ἄττα ἐστὶν ἑξῆς· ἀπόχρη δὲ τάδε
δηλῶν μὲν, ὡς μεγάλαι τινὲς φύσιν εἰσὶν αἱ
τροπικαὶ, καὶ ὡς ὑψηλοποιὸν αἱ μεταφοραὶ,
καὶ ὅτι οἱ παθητικοὶ καὶ φραστικοὶ κατὰ τὸ

“ tra ea, quæ extra ſunt:
“ ſanguinem verò ap-
“ pellavit pabulum car-
“ nium: alimentique
“ cauſâ, inquit, *Dii* ri-
“ vulos per corpus dux-
“ erunt, canales *ibi* tan-
“ quam in hortis ſecan-
“ tes, ut ex flumine quo-
“ dam perenni, cum ſit
“ meatus corporis an-
“ guſtus, latices vena-
“ rum fluant: cum ve-
“ rò mors appropinquet,
“ dicit ſolvi animæ, non
“ ſecus ac navis, ruden-
“ tes, eamque liberam
“ dimitti.” Eadem et ſi-
milia innumera ſunt in
iis, quæ ſequuntur: hæc
verò ſufficiunt oſtenden-
tia, quòd naturâ grandes
ſunt tropicæ *dictiones*, et
quòd Metaphoræ Subli-
mitatem efficiunt, quód-
que illi loci, qui affectus

πλεῖστον αὐταῖς χαίρουσι τόποι. Ὅτι μέντοι καὶ ἡ χρῆσις τῶν τρόπων, ὥσπερ τ᾽ ἄλλα πάντα καλὰ ἐν λόγοις, προαγωγὸν ἀεὶ πρὸς τὸ ἄμετρον, δῆλον ἤδη, κἂν ἐγὼ μὴ λέγω. Ἐπὶ γὰρ τούτοις καὶ τὸν Πλάτωνα οὐχ ἥκιστα διασύρουσι, πολλάκις, ὥσπερ ὑπὸ βακχείας τινὸς τῶν λόγων, εἰς ἀκράτους καὶ ἀπηνεῖς μεταφορὰς καὶ εἰς ἀλληγορικὸν στόμφον ἐκφερόμενον. "Οὐ γὰρ ῥᾴδιον ἐπινοεῖν, φησὶν, ὅτι "πόλιν εἶναι δεῖ δίκην κρατῆρος κεκερασμένην; "οὗ μαινόμενος μὲν οἶνος ἐγκεχυμένος ζεῖ, "κολαζόμενος δ᾽ ὑπὸ νήφοντος ἑτέρου θεοῦ,

et narrationes *in ſe* habent, ut plurimum iis gaudent. Jam apparet (etiamſi ego de hoc taceo) uſum Troporum, quemadmodum alia omnia pulchra in orationibus, ſemper ſolere provehere *ſcriptores* ad id, quod nimis eſt. In his enim etiam Platonem *homines* non minimè reprehendunt, quippe qui ſæpe, veluti quâdam bacchatione verborum, abripitur in immodicas duraſque Metaphoras, et in Allegoricum tumorem. "Annon (inquit) "facilè intelligi poteſt, "civitatem temperatam "eſſe oportere inſtar "poculi? in quo vinum, "*Deus ille* furens, infuſum "fervet; caſtigatum verò ab alio Deo,

« καλὴν κοινωνίαν λαβὼν, ἀγαθὸν πόμα καὶ « μέτριον ἀπεργάζεται." « Νήφοντα" γὰρ, φασὶ, « θεὸν" τὸ ὕδωρ λέγειν, κόλασιν δὲ « τὴν κρᾶσιν, ποιητοῦ τινος τῷ ὄντι οὐχὶ νήφοντός ἐστι. Τοῖς τοιούτοις ἐλαττώμασιν ἐπιχειρῶν, ὅμως αὐτόθεν ὁ Καικίλιος ἐν τοῖς ὑπὲρ Λυσίου συγγράμμασιν ἀπεθάρρησε τῷ παντὶ Λυσίαν ἀμείνω Πλάτωνος ἀποφήνασθαι, δυσὶ πάθεσι χρησάμενος ἀκρίτοις· φιλῶν γὰρ τὸν Λυσίαν, ὡς οὐδ' αὐτὸς αὐτὸν, ὅμως μᾶλλον μισεῖ τῷ παντὶ Πλάτωνα, ἢ Λυσίαν φιλεῖ. Πλὴν οὗτος μὲν ὑπὸ φιλονεικίας· οὐδὲ τὰ θέματα ὁμολογούμενα, καθά-

" qui ſobrius eſt, pulchramque iniens *cum* " *eo* ſocietatem, bonum " moderatumque potum " exhibet :" Appellare enim, inquiunt, aquam " ſobrium Deum," et commixtionem " caſtigationem," eſt poëtæ cujuſdam reverà non ſobrii : hujuſmodi tamen defectibus *Platonis* Cæcilius *quaſi* manum injiciens, hoc in ſuis de Lyſiâ commentariis auſus eſt declarare, *nempe*, Lyſiam omnino meliorem eſſe *ſcriptorem* Platone, duobus uſus affectibus judicio carentibus ; amans enim Lyſiam, quantum nec ipſe ſe, tamen omnino magis odio habet Platonem, quàm amat Lyſiam. Sed hic *vir* præ contentionis ſtudio *hoc declaravit* ; neque ea, quæ ponit, ſunt con-

περ ᾠήθη· ὡς γὰρ ἀναμάρτητον καὶ καθαρὸν τὸν ῥήτορα προφέρει πολλαχῆ διημαρτημένου τοῦ Πλάτωνος· τὸ δ' ἦν ἄρα οὐχὶ τοιοῦτον, οὐδὲ ὀλίγου δεῖ.

Sect. XXXIII. Φέρε δὴ λάβωμεν τῷ ὄντι καθαρόν τινα συγγραφέα καὶ ἀνέγκλητον. Ἆρ' οὐκ ἄξιον ἔπι διαπορῆσαι περὶ αὐτοῦ τούτου καθολικῶς, πότερόν ποτε κρεῖττον ἐν ποιήμασι καὶ λόγοις μέγεθος ἐν ἐνίοις διημαρτημένον, ἢ τὸ σύμμετρον μὲν ἐν τοῖς κατορθώμασιν, ὑγιὲς δὲ πάντη καὶ ἀδιάπτωτον; Καὶ ἔτι, νὴ Δία, πότερόν ποτε αἱ πλείους ἀρεταὶ τὸ πρωτεῖον ἐν λόγοις, ἢ αἱ μείζους δικαίως

ceſſa, quemadmodum putavit: præfert enim *illum* Rhetorem Platoni, ac ſi ille vitio careret, puruſque eſſet ſcriptor, hic autem ſæpius in vitium incideret: hoc verò non, imò ne penè hujuſmodi fuit.

Agedum, ſumamus aliquem ſcriptorem reverà purum et inculpatum. Nonne operæ pretium eſt de hoc ipſo in genere quærere, utrum præſtantior in poëmatibus et *ſolutis* ſcriptis ſit Sublimitas inter quædam, quæ malè ſe habent; an id quidem, quod mediocre eſt in iis, quæ rectè ſe habent, ſanum verò omnino et vitio carens? Et præterea hercule, utrum plures virtutes in ſcriptis, an

ἂν φέροιντο; Ἔστι γὰρ ταῦτ᾽ οἰκεῖα τοῖς περὶ ὕψους σκέμματα, καὶ ἐπικρίσεως ἐξ ἅπαντος δεόμενα. Ἐγὼ δ᾽ οἶδα μὲν, ὡς αἱ ὑπερμεγέθεις φύσεις ἥκιστα καθαραὶ (τὸ γὰρ ἐν παντὶ ἀκριβὲς κίνδυνος σμικρότητος) ἐν δὲ τοῖς μεγέθεσιν, ὥσπερ ἐν τοῖς ἄγαν πλούτοις, εἶναί τι χρὴ καὶ παρολιγορούμενον. Μήποτε δὲ τοῦτο καὶ ἀναγκαῖον ᾖ, τὸ τὰς μὲν ταπεινὰς καὶ μέσας φύσεις, διὰ τὸ μηδαμῆ παρακινδυνεύειν, μηδὲ ἐφίεσθαι τῶν ἄκρων, ἀναμαρτήτους ὡς ἐπὶ τὸ πολὺ καὶ ἀσφαλεστέρας διαμένειν· τὰ δὲ μεγάλα ἐπισφαλῆ δι᾽ αὐτὸ γίνεσθαι τὸ

majores jure primas ferant? hæ enim ſunt propriæ Sublimitatis diſquiſitiones, quæque judicium omnino requirant. Equidem non ignoro, valdè Sublimia ingenia minimè eſſe pura (nam id, quod ubique accuratum eſt, in periculum humilitatis venit;) et oportere in iis, quæ Sublimia ſunt, velut in magnis opibus, ut ſit aliquid, quod negligatur: *Vide* autem, ne hoc etiam neceſſarium ſit, humilia et mediocria ingenia, quia nunquam periculum ſubeant neque ſumma affectent, permanere plerumque vitio carentia et *aliis* tutiora; magna verò *ingenia* periculis expoſita eſſe propter eam ipſam, *quam habent*, Sublimita-

μέγεθος. Ἀλλὰ μὲν οὐδὲ ἐκεῖνο ἀγνοῶ τὸ δεύτερον, ὅτι φύσει πάντα τὰ ἀνθρώπεια ἀπὸ τοῦ χείρονος ἀεὶ μᾶλλον ἐπιγινώσκεται, καὶ τῶν μὲν ἁμαρτημάτων ἀνεξάλειπτος ἡ μνήμη παραμένει, τῶν καλῶν δὲ ταχέως ἀπορρεῖ. Παρατεθειμένος δ' οὐκ ὀλίγα καὶ αὐτὸς ἁμαρτήματα καὶ Ὁμήρου καὶ τῶν ἄλλων, ὅσοι μέγιστοι, καὶ ἥκιστα τοῖς πταίσμασιν ἀρεσκόμενος, ὅμως δὲ, οὐχ ἁμαρτήματα μᾶλλον αὐτὰ ἑκούσια καλῶν, ἢ παροράματα δι' ἀμέλειαν, εἰκῆ που καὶ ὡς ἔτυχεν, ὑπὸ μεγαλοφυΐας ἀνεπιστάτως παρενηνεγμένα, οὐδὲν ἧττον οἶμαι τὰς μείζονας

tem. Enimverò neque illud ſecundum ignoro, naturaliter omnia humana *opera* ex eo, quod in iis eſt pejus, ſemper potiùs cognoſci; memoriamque vitiorum non delendam permanere, virtutum verò celeriter excidere: Ego autem, qui et ipſe notavi non pauca vitia et Homeri et aliorum, quotquot ſunt optimi *ſcriptores*, quique minimè lætor lapſibus *in dicendo*, (ſed tamen qui non potiùs illa appello vitia voluntaria quàm neglectiones ex incuriâ, temerè quidem et ut accidit, ab animi magnitudine inconſideratè in medium prolatos;) *Ego, inquam, qui hâc ſententiâ ſum*, nihilominus cenſeo majores virtutes (etſi non

ἀρετὰς, εἰ καὶ μὴ ἐν πᾶσι διομαλίζοιεν, τῶν τοῦ πρωτείου ψῆφον μᾶλλον ἀεὶ φέρεσθαι, κἂν εἰ μὴ δι' ἑνὸς ἑτέρου, τῆς μεγαλοφροσύνης αὐτῆς ἕνεκα. Ἐπεῖτοι γε καὶ ἄπτωτος ὁ Ἀπολλώνιος ὁ τῶν Ἀργοναυτικῶν ποιητὴς [κἂν τοῖς βουκολικοῖς, πλὴν ὀλίγων τῶν ἔξωθεν, ὁ Θεόκριτος ἐπιτυχέστατος] ἆρ' οὖν Ἀπολλώνιος ἂν μᾶλλον ἢ Ὅμηρος ἐθέλοις γενέσθαι; Τί δαί; Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ (διὰ πάντων γὰρ ἀμώμητον τὸ ποιημάτιον) Ἀρχιλόχου, πολλὰ καὶ ἀνοικονόμητα παρασύροντος, κἀκεῖνα τῇ ἐμβολῇ τοῦ δαιμονίου πνεύματος, ἣν ὑπὸ νόμον τάξαι δύσκολον,

ubique ſint æquales) ſemper potiùs primas tenere, ſi non propter *ullam* aliam rem unam, *tamen* propter ipſam Sublimitatem. Quia etiam vitio caret Apollonius ille Argonauticorum ſcriptor, (et in Bucolicis *ſuis*, paucis quæ ſunt alterius argumenti exceptis, Theocritus eſt feliciſſimus) annon malis fuiſſe Homerus, quàm Apollonius? Quid verò? num Eratoſthenes in Erigone (per omnia enim illud poëma eſt inculpatum) eſt major poëta, quàm Archilochus, qui multa etiam nullum ordinem habentia præpoſterè trahit, eoque impetu divini ſpiritûs, qui non facilè

ἆρα δὴ μείζων ποιητής; Τί δ'; ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο, ἢ Πίνδαρος; καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος, ἢ νὴ Δία Σοφοκλῆς; ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι, καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι· ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις, καὶ πίπτουσιν ἀτυχέστατα. Ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος τοῦ Οἰδίποδος εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος ἀντιτιμήσαιτο ἑξῆς.

Sect. XXXIV. Εἰ δ' ἀριθμῷ, μὴ τῷ ἀληθεῖ, κρίνοιτο τὰ κατορθώματα, οὕτως ἂν καὶ Ὑπε-

legibus ſubjicitur? Quod verò: in Lyricis malis eſſe Bacchylides, quàm Pindarus; et in Tragœdiâ Ion Chius, quàm mehercule Sophocles? quia illi quidem (*ſc. Bacchylides et Ion*) vitio carent, et in florido *dicendi genere* ubique ſunt elegantes: Pindarus autem et Sophocles nonnunquam omnia impetu quaſi incendunt, ſæpe verò ſine ratione extinguuntur, caduntque infeliciſſime: ſanè nemo, qui ſapit, in unum colligens *fabulas* Ionis, ex æquo *eas* æſtimârit contra unam fabulam *Sophoclis*, Oedipum.

Si verò numero, non veritate, judicentur benè ſcripta, hoc modo etiam Hyperides omnino

ρίδης τῷ παντὶ περιέχοι Δημοσθένους. Ἐστι γὰρ αὐτοῦ πολυφωνότερος, καὶ πλείους ἀρετὰς ἔχων, καὶ σχεδὸν ὕπακρος ἐν πᾶσιν, ὡς ὁ Πένταθλος, ὅς γε τῶν μὲν πρωτείων ἐν ἅπασι τῶν ἄλλων ἀγωνιστῶν λείπεται, πρωτεύει δὲ τῶν ἰδιωτῶν. Ὁ μὲν γὰρ Ὑπερίδης πρὸς τῷ πάντα, ἔξω γε τῆς συνθέσεως, μιμεῖσθαι τὰ Δημοσθένεια κατορθώματα, καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας. Καὶ γὰρ μαλακίζεται ἔνθα χρὴ, καὶ οὐ πάντα ἑξῆς καὶ μονοτόνως (ὡς ὁ Δημοσθένης) λέγει, τό τε ἠθικὸν ἔχει μετ'

ſuperior eſſet Demoſthene. Eſt enim *Hyperides* magis, quàm ille, ſonorus, et plures virtutes habet, et ferè ſummo proximus eſt in omnibus, tanquam *aliquis* Quinquertio; adeò ut inferior eſt aliis certatoribus, qui primas tenent *ſinguli* |in ſingulis *generibus*, ſuperior verò eſt iis, qui in eodem, quo ille, genere *certatores* ſunt. Hyperides enim imitationi omnium Demoſthenicarum virtutum (exceptâ compoſitione) etiam Lyſiæ virtutes gratiaſque copiosè adjunxit: etenim mollis eſt, ubi remiſſione opus eſt, neque omnia ſeriatim et unâ ſpiritûs intentione (ut Demoſthenes) dicit, habetque moratum *dicendi*

Μὴ μνηϛεύσαντες, μηδ᾽ ἄλλοθ᾽ ὁμιλήσαντες,
Ὕϛατα καὶ πύματα νῦν ἐνθάδε δειπνήσειαν·
Οἳ θάμ᾽ ἀγειρόμενοι βίοτον κατακείρετε πολλὸν,
Κτῆσιν Τηλεμάχοιο δαΐφρονος· οὐδέ τι πατρῶν
Ὑμετέρων τῶν πρόσθεν ἀκούετε παῖδες ἐόντες,
Οἷος Ὀδυσσεὺς ἔσκε.

XXVIII. Sect. Καὶ μέν τοι καὶ ἡ Περίφρασις ὡς οὐχ ὑψηλοποιὸν, οὐδεὶς ἂν (οἶμαι) διϛάσειεν. Ὡς γὰρ ἐν Μουσικῇ διὰ τῶν παραφώνων καλουμένων ὁ κύριος φθόγγος ἡδίων ἀποτε-

Utinam illi, quos vellem non nuptias ambiiſſe,
alienâque in domo verſatos fuiſſe,
Ultimò et extremò nunc hîc cœnent:
Qui ſimul congregati conſumitis multum,
Bona Telemachi prudentis; neque unquam ex patribus
Veſtris, qui ante vos erant, audîſtis, pueri cum eſſetis,
Qualis Ulyſſes fuerit.

Et ſanè, ſit necne Periphraſis effectrix Sublimitatis, nemo (opinor) poteſt dubitare. Ut enim in Muſicâ illi, quos Paraphonos vocant, faciunt principem ſonum

λεῖται, οὕτως ἡ περίφρασις πολλάκις συμφθέγγεται τῇ κυριολογίᾳ, καὶ εἰς κόσμον ἐπιπολὺ συνηχεῖ· καὶ μάλιστ' ἂν μὴ ἔχῃ φυσῶδές τι καὶ ἄμουσον, ἀλλ' ἡδέως κεκραμένω. Ἱκανὸς δὲ τοῦτο τεκμηριῶσαι καὶ Πλάτων κατὰ τὴν εἰσβολὴν τοῦ Ἐπιταφίου, “Ἔργῳ μὲν ἡμῖν οἵδ' ἔχουσι τὰ προσήκοντα σφίσιν “αὐτοῖς, ὧν τυχόντες πορεύονται τὴν εἱμαρ- “μένην πορείαν· προπεμφθέντες κοινῇ μὲν “ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ἕκαστος ὑπὸ τῶν “προσηκόντων.” Οὐκοῦν τὸν θάνατον εἶπεν “εἱμαρμένην πορείαν,” τὸ δὲ τετυχηκέναι “τῶν νομιζομένων, προπομπήν τινα δημο-

dulciorem: ſic Periphraſis ſæpe concinit cum proprietate verborum, et ad ornatum *faciendum* plurimùm *cum eâ* conſpirat: præſertim ſi habeat aliquid non inflatum et abſonum, ſed ſuaviter attemperatum. Poteſt autem hoc exemplo confirmare etiam Plato in initio Concionis Funebris; “Reverà hi à nobis habent ea, quæ ipſis debita ſunt, quibus “potiti iter fato deſtinatum proficiſcuntur: “deducti publicè quidem a civitate, privatìm verò unuſquiſque “à ſuis neceſſariis.” Ergo mortem vocat “iter “fato deſtinatum,” et conſequi ea quæ juſta ſunt, *vocat* deductionem “quandam publicam *fac-*

γλυκύτητος ἡδὺ, λιτῶς ἐφηδυνόμενον· ἄφατοί τε περὶ αὐτόν εἰσιν ἀστεϊσμοὶ, μυκτὴρ πολιτικώτατος, εὐγένεια, τὸ κατὰ τὰς εἰρωνείας εὐπάλαιστρον, σκώμματα οὐκ ἄμουσα, οὐδ' ἀνάγωγα κατὰ τοὺς Ἀττικοὺς ἐκείνους, ἀλλ' ἐπικείμενα, διασυρμός τε ἐπιδέξιος, καὶ πολὺ τὸ κωμικὸν, καὶ μετὰ παιδιᾶς εὐστόχου κέντρον, ἀμίμητον δὲ (εἰπεῖν) τὸ ἐν πᾶσι τούτοις ἐπαφρόδιτον· οἰκτίσασθαί τε προσφυέστατος, ἔτι δὲ μυθολογῆσαι κεχυμένος, καὶ ἐν ὑγρῷ πνεύματι διεξοδεῦσαι ἔτι εὐκαμπὴς ἄκρως, ὥσπερ ἀμέλει τὰ μὲν περὶ τὴν Λητὼ ποιητικώτερα, τὸν δ' Ἐπιτάφιον ἐπι-

genus cùm ſuavitate jucundum, leniter dulcedine conditum: et innumeræ ſunt in illo urbanitates, naſus maximè forenſis, feſtivitas liberalis, victrix in ironiis facilitas, joci non illepidi, et non arceſſiti (quales apud illos Atticos *ſolebant eſſe)* ſed *rei* inhærentes, felixque Diaſyrmus, et multa vis Comica, aculeuſque cum joco ſcopum benè attingente, et non imitabilis (ut ita dicam) venuſtas in his omnibus: ad miſericordiam etiam movendam naturâ aptus eſt maximè; item in fabulis narrandis fuſus, ſumméque flexilis ad digrediendum cum molli *facilique* ſpiritu, quomodo (exempli gratiâ) illa, quæ poëticè potiùs ſunt de Latonâ dicta, orationem-

δεικτικῶς, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, διέθετο. Ὁ δὲ Δημοσθένης ἀνηθοποίητος, ἀδιάχυτος, ἥκιστα ὑγρὸς ἢ ἐπιδεικτικὸς, ἁπάντων ἑξῆς τῶν προειρημένων κατὰ τὸ πλέον ἄμοιρος. Ἔνθα μέντοι γελοῖος εἶναι βιάζεται καὶ ἀστεῖος, οὐ γέλωτα κινεῖ μᾶλλον, ἢ καταγελᾶται· ὅταν δὲ ἐγγίζειν θέλῃ τῷ ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται· τό γέ τοι περὶ Φρύνης ἢ Ἀθηνογένους λογίδιον ἐπιχειρήσας γράφειν, ἔτι μᾶλλον ἂν Ὑπερίδην συνέστησεν. Ἀλλ' ἐπειδήπερ, οἶμαι, τὰ μὲν θατέρου καλὰ, καὶ εἰ πολλὰ ὅμως ἀμεγέθη

que Funebrem, ut neſcio an quivis alius, cum oſtentatione compoſuit. Demoſthenes verò in effingendis moribus *hominum* infelix *eſt*, parum fuſum dicendi genus habet, minimè flexilis eſt vel oſtentationem præ ſe ferens, omnium denique anteà dictorum plerumque eſt expers. Ubi quidem vi conatur riſu et urbanitate plenus eſſe, non potiùs riſum movet, quàm deridetur; quum verò velit ad feſtivitatem propè accedere, tunc ab eâ longiùs abeſt: ſi oratiunculam ille (*ſc. Demoſthenes*) de Phryne vel de Athenogene ſcribendam ſuſcepiſſet, multo magis Hyperidem inſignem videri feciſſet. Sed quoniam alterius *ſc. Hyperidis* virtutes, etſi multæ, tamen Sublimitate

καὶ καρδίᾳ νήφοντος, ἀργὰ, καὶ τὸν ἀκροατὴν ἠρεμεῖν ἐῶντα, οὐδεὶς γοῦν Ὑπερίδην ἀναγινώσκων φοβεῖται· ὁ δὲ ἔνθεν λαβὼν τὰς μεγαλοφυεστάτους καὶ ἐπ' ἄκρον ἀρετὰς συντετελεσμένας, ὑψηγορίας τόνον, ἔμψυχα πάθη, περιουσίαν, ἀγχίνοιαν, τάχος, ἔνθα δ', ὃ κύριον, τὴν ἅπασιν ἀπρόσιτον δεινότητα καὶ δύναμιν· ἐπειδὴ ταῦτα, φημὶ, ὡς θεόπεμπτά τινα δωρήματα, (οὐ γὰρ εἰπεῖν θεμιτὸν ἀνθρώπινα) ἀθρόα ἐς ἑαυτὸν ἔσπασε, διὰ τοῦτο οἷς ἔχει καλοῖς ἅπαντας ἀεὶ νικᾷ, καὶ ὑπὲρ ὧν οὐκ ἔχει, ὡσπερεὶ κατα-

carent, ejuſque ſunt, qui *(ut in proverbio eſt)* corde ſobrius eſt, et ignavæ ſunt, permittuntque ut auditor quietus ſit; idcirco nemo Hyperidem legens commovetur; Hic verò *ſc. Demoſthenes*, cum hinc ſumpſerit animi magnitudinem, virtuteſque ad faſtigium perductas, *nempe* Grandiloquentiæ tonum, affectus animatos, abundantiam, verſutiam, celeritatem; illinc autem *(id quod huic proprium eſt)* vehementiam, et vim *dicendi* tantam, quantam nemo conſequi poteſt; Cùm hæc, inquam, velut quædam divinitùs miſſa dona (neque enim fas eſt ea appellare humana) confertim ad ſe attraxerit, propterea iis virtutibus, quas habet, omnes ſemper vincit, et quod ad eas attinet, quas non habet, quaſi toni-

βροντᾷ καὶ καταφέγγει τοὺς ἀπ' αἰῶνος ῥήτορας· καὶ θᾶττον ἄν τις κεραυνοῖς φερομένοις ἀντανοῖξαι τὰ ὄμματα δύναιτο, ἢ ἀντοφθαλμῆσαι τοῖς ἐπαλλήλοις ἐκείνου πάθεσιν.

Ἐπὶ μέντοι τοῦ Πλάτωνος καὶ ἄλλη Sect. XXXV. τίς ἐστιν, ὡς ἔφην, διαφορά· οὐ γὰρ μεγέθει τῶν ἀρετῶν, ἀλλὰ καὶ τῷ πλήθει πολὺ λειπόμενος ὁ Λυσίας, ὅμως πλεῖον ἔτι τοῖς ἁμαρτήμασι περιττεύει, ἢ ταῖς ἀρεταῖς λείπεται. Τί ποτ' οὖν εἶδον οἱ ἰσόθεοι ἐκεῖνοι, καὶ τῶν μεγίστων ἐπορεξάμενοι τῆς συγγραφῆς, τῆς δ' ἐν ἅπασιν ἀκριβείας ὑπερφρονήσαντες; Πρὸς πολλοῖς ἄλλοις ἐκεῖνο, ὅτι

tru fulgoreque percellit omnes omnis ſæculi Rhetoras; et faciliùs quis poſſit oculos *ſuos* contra fulmina immiſſa aperire, quàm rectis oculis intueri ſibi inſtantes ejus affectus.

De Platone verò alia quædam eſt, ut dixi, differentia *inter eum et Lyſium*: non enim propter magnitudinem virtutum *ſolùm*, ſed et numerum, multùm inferior *illo* ſit Lyſias; *et* hic quidem magis vitiis eum ſuperat, quàm virtutibus ab eo vincitur. Quid igitur viderunt divini illi et affectantes maximè Sublimia in ſcriptis, negligentes verò accuratam in omnibus diligentiam? Hoc inter multa alia, *nempe* quòd Natura ſta-

ἡ φύσις οὐ ταπεινὸν ἡμᾶς ζῶον, οὐδ' ἀγεννὲς ἔκρινε τὸν ἄνθρωπον, ἀλλ' ὡς εἰς μεγάλην τινὰ πανήγυριν, εἰς τὸν βίον καὶ εἰς τὸν σύμπαντα κόσμον ἐπάγουσα, θεατάς τινας τῶν ὅλων αὐτῆς ἐσομένους, καὶ φιλοτιμοτάτους ἀγωνιστάς, εὐθὺς ἄμαχον ἔρωτα ἐνέφυσεν ἡμῶν ταῖς ψυχαῖς παντὸς ἀεὶ τοῦ μεγάλου, καὶ ὡς πρὸς ἡμᾶς δαιμονιωτέρου. Διόπερ τῇ θεωρίᾳ καὶ διανοίας τῆς ἀνθρωπίνης ἐπιβολῇ οὐδ' ὁ σύμπας κόσμος ἀρκεῖ, ἀλλὰ καὶ τοὺς τοῦ περιέχοντος πολλάκις ὅρους ἐκβαίνουσιν αἱ ἐπίνοιαι· καὶ εἴ τις περιβλέψαιτο ἐν κύκλῳ τὸν βίον, ὃς πλέον ἔχει τὸ περιττὸν

tuit Hominem eſſe animal neque humile neque ignobile; ſed velut in magnum quendam conventum, in vitam nos et in univerſum *terrarum* orbem inducens, ut eſſemus ſpectatores omnium ejus *ſc. naturæ* partium, et cupidiſſimi honoris certatores, ſtatim noſtris animis inſevit inexpugnabilem amorem omnis ejus quod ſemper magnum eſt, quodque, ut ad nos *refertur*, divinius eſt. Quocirca nec totus mundus ſufficit contemplationi agitationique humanæ jaculationis *mentis*, ſed cogitationes tranſgrediuntur ſæpè limites *omnis* ejus quod nos ambit: et ſi quis contempletur undequaque vitam, quæ in om-

ἐν πᾶσι καὶ μέγα καὶ καλὸν, ταχέως εἴσεται πρὸς ἃ γεγόναμεν. Ἔνθεν φυσικῶς πως ἀγόμενοι μὰ Δί' οὐ τὰ μικρὰ ῥεῖθρα θαυμάζομεν, εἰ καὶ διαυγῆ καὶ χρήσιμα· ἀλλὰ τὸν Νεῖλον, καὶ Ἴστρον, ἢ Ῥῆνον, πολὺ δ' ἔτι μᾶλλον τὸν Ὠκεανόν· οὐδέ γε τὸ ὑφ' ἡμῶν τουτὶ φλογίον ἀνακαιόμενον, ἐπεὶ καθαρὸν σώζει τὸ φέγγος, ἐκπληττόμεθα τῶν οὐρανίων μᾶλλον, καίτοι πολλάκις ἐπισκοτουμένων· οὐδὲ τῶν τῆς Αἴτνης κρατήρων ἀξιοθαυμαστότερον νομίζομεν, ἧς αἱ ἀναχοαὶ πέτρους τε ἐκ βυθοῦ καὶ ὅλους ὄχθους ἀναφέρουσι, καὶ ποταμοὺς ἐνίοτε τοῦ γηγενοῦς ἐκείνου καὶ αὐτοῦ

nibus rebus magis eo abundat, quod excellens eſt et magnum et pulchrum, citò cognoſcet quas ad res nati fuimus. Inde naturâ ducti mehercule non admiramur parvos rivulos, etiam ſi pellucidi utileſque ſint; ſed Nilum, et Iſtrum, aut Rhenum, imò multò etiam magis Oceanum: neque admiramur hunc ignem à nobis accenſum, quia puram *ſine intermiſſione* ſervat lucem, magis quàm cœleſtes *ignes* quamvis ſæpè obſcuratos: neque *hunc ignem* digniorem admiratione cenſemus quàm Crateras Ætnæ, cujus fauces emittunt ſaxaque ex fundo et totos ſcopulos, et effundunt fluvios nonnunquam illius generis, et

μόνου προχέουσι πυρός. Ἀλλ' ἐπὶ τῶν τοιούτων ἁπάντων ἐκεῖν' ἂν εἴποιμεν, ὡς εὐπόριστον μὲν ἀνθρώποις τὸ χρειῶδες, ἢ καὶ ἀναγκαῖον, θαυμαστὸν δ' ὅμως ἀεὶ τὸ παράδοξον.

Sect. XXXVI. Οὐκοῦν ἐπί γε τῶν ἐν λόγοις μεγαλοφυῶν (ἐφ' ὧν οὐκέτ' ἔξω τῆς χρείας καὶ ὠφελείας πίπτει τὸ μέγεθος) προσήκει συνθεωρεῖν αὐτόθεν· ὅτι τοῦ ἀναμαρτήτου πολὺ ἀφεστῶτες οἱ τηλικοῦτοι, ὅμως πάντες εἰσὶν ἐπάνω τοῦ θνητοῦ, καὶ τὰ μὲν ἄλλα τοὺς χρωμένους ἀνθρώπους ἐλέγχει, τὸ δ' ὕψος ἐγγὺς αἴρει μεγαλοφροσύνης Θεοῦ, καὶ τὸ μὲν ἄπταιστον οὐ ψέγεται, τὸ μέγα δὲ καὶ θαυ-

ipſius ſolius ignis. Sed de omnibus hujuſmodi rebus poſſumus hoc dicere; id, quod utile eſt, vel etiam neceſſarium, facilè acquiſitum eſſe ab hominibus; tamen id, quod præter expectationem videtur, ſemper eſſe admirationi.

Ergo de iis, qui in ſcriptis naturâ Sublimes ſunt (in quos Sublimitas cadit non ſine utilitate et commodo) oportet hîc conſiderare; licet hujuſmodi homines longè abſint a perfectione vitio carente, tamen illos omnino eſſe ſuprà id, quod mortale eſt; et alia quidem probare eos qui iis utuntur, Homines eſſe; Sublimitatem verò tollere prope ad altitudinem Dei; et id, quod culpâ vacat, non vituperari; id verò, quod Sublime

μάζεται. Τί χρὴ πρὸς τούτοις ἔτι λέγειν; ὡς ἐκείνων τῶν ἀνδρῶν ἕκαστος ἅπαντα τὰ σφάλματα ἑνὶ ἐξωνεῖται πολλάκις ὕψει, καὶ κατορθώματι· καὶ, τὸ κυριώτατον, ὡς εἴ τις ἐκλέξας τὰ Ὁμήρου, τὰ Δημοσθένους, τὰ Πλάτωνος, τὰ τῶν ἄλλων, ὅσοι δὴ μέγιστοι, παραπτώματα πάντα ὁμόσε συναθροίσειεν, ἐλάχιστον ἄν τι, μᾶλλον δ' οὐδὲ πολλοστη-μόριον ἂν εὑρεθείη τῶν ἐκείνοις τοῖς ἥρωσι πάντῃ κατορθουμένων. Διὰ ταῦθ' ὁ πᾶς αὐτοῖς αἰὼν καὶ βίος, οὐ δυνάμενος ὑπὸ τοῦ φθόνου παρανοίας ἁλῶναι, φέρων ἀπέδωκε

eſt etiam admirationi eſſe. Quid eſt, quod oportet jam his addere; *nempe* quòd unuſquiſque illorum hominum omnes *ſuos* errores ſæpe poſſit redimere unâ Sublimitate et virtute; et quòd (præcipuum hoc *eſt* maximè) ſi quis elegerit omnia errata Homeri, Demoſthenis, Platonis, aliorumque, quotquot maximi *ſunt ſcriptores*, et ea in unum coëgerit, minima, potiùs verò ne milleſſima inventa eſſet pars illorum, quæ ab his Heroïbus ubique ſunt præclarè dicta. Quocirca omne ſæculum ævumque, cum nequeat invidiæ dementiâ decipi, illis tulit tribuitque victoriæ præmia, et ad hoc

τὰ νικητήρια, καὶ ἄχρι νῦν ἀναφαίρετα φυλάττει, καὶ ἔοικε τηρήσειν,

> Ἔστ' ἂν ὕδωρ τε ῥέῃ, καὶ δένδρεα μακρὰ
> τεθήλῃ.

Πρὸς μέντοι γε τὸν γράφοντα, ὡς ὁ Κολοσσὸς ὁ ἡμαρτημένος οὐ κρείττων ἢ ὁ Πολυκλείτου Δορυφόρος, παράκειται πρὸς πολλοῖς εἰπεῖν, ὅτι ἐπὶ μὲν τέχνης θαυμάζεται τὸ ἀκριβέστατον, ἐπὶ δὲ τῶν φυσικῶν ἔργων τὸ μέγεθος· φύσει δὲ λογικὸν ὁ ἄνθρωπος· κἀπὶ μὲν ἀνδριάντων ζητεῖται τὸ ὅμοιον ἀνθρώπῳ, ἐπὶ δὲ λόγου τὸ ὑπεραῖρον, ὡς ἔφην,

uſque tempus minimè ab iis detrahenda cuſtodit, et cūſtoditurum videtur,

> *Dum et aqua currit,*
> *arboreſque proceræ*
> *vireſcunt.*

Illi, qui ſcribit, Coloſſum vitium habentem non meliorem eſſe, quàm Polycleti Doryphorum, in promptu eſt præter multa *alia hoc* reſpondere; *nempe* quòd in operibus artis id, quod accuratius eſt, admiratione excipitur, in operibus autem naturæ id, quod Sublime eſt; hominem verò eſſe animal oratione præditum, naturæ debetur: et *quod* in ſtatuis humanis quæritur ſimilitudo hominis; in oratione verò, *quæ naturæ opus eſt*, quæritur id quod, ut dixi, exce-

τὰ ἀνθρώπινα. Προσήκει δ᾽ ὅμως (ἀνακάμπτει γὰρ ἐπὶ τὴν ἀρχὴν ἡμῖν τοῦ ὑπομνήματος ἡ παραίνεσις) ἐπειδὴ τὸ μὲν ἀδιάπτωτον ὡς ἐπὶ τὸ πολὺ τέχνης ἐστὶ κατόρθωμα, τὸ δ᾽ ἐν ὑπεροχῇ, πλὴν οὐχ ὁμότονον, μεγαλοφυΐας, βοήθημα τῇ φύσει πάντη πορίζεσθαι τὴν τέχνην· ἡ γὰρ ἀλληλουχία τούτων ἴσως γένοιτ᾽ ἂν τὸ τέλειον. Τοσαῦτα ἦν ἀναγκαῖον ὑπὲρ τῶν προτεθέντων ἐπικρῖναι σκεμμάτων· χαιρέτω δ᾽ ἕκαστος, οἷς ἥδεται.

Ταῖς δὲ μεταφοραῖς γειτνιῶσιν (ἐπανιτέον γὰρ) αἱ παραβολαὶ καὶ εἰκόνες, ἐκείνῃ μόνον παραλλάττουσαι, * * * * * Sect. XXXVII.

dit res humanas. Convenit tamen (redit enim præceptio noſtra ad initium commentarii) quoniam vitio carens *dicendi genus* plerumque artis eſt virtus; id verò quod in Sublimitate *poſitum eſt*, ſed non ubique æquale, *virtus eſt* animi magnitudinis, *convenit*, *inquam*, ubique acquirere artem in auxilium Naturæ: forſitan enim cohærentia harum mutua fuerit perfectio. Hæc de quæſtionibus in medio poſitis neceſſe fuit ſtatuere: ſed unuſquiſque fruatur iis, quæ ipſi placent.

Metaphoris (revertendum enim eſt) vicinæ ſunt Comparationes et Similitudines, illo tantùm modo inter ſe differentes, * * * * *

Sect. XXXVIII.

* * σοι καὶ αἱ τοιαῦται, “Εἰ μὴ τὸν ἐγ-
“κέφαλον ἐν ταῖς πτέρναις καταπεπατημέ-
“νον φορεῖτε.” Διόπερ εἰδέναι χρὴ τὸ μέ-
χρι ποῦ προοριστέον ἕκαστον· τὸ γὰρ ἐνίοτε πε-
ραιτέρω προσεκπίπτειν ἀναιρεῖ τὴν ὑπερβολήν,
καὶ τὰ τοιαῦτα ὑπερτεινόμενα χαλᾶται, ἔσθ'
ὅτε δὲ καὶ εἰς ὑπεναντιώσεις ἀντιπεριΐσταται.
Ὁ γοῦν Ἰσοκράτης, οὐκ οἶδ' ὅπως, παιδὸς
πρᾶγμα ἔπαθεν, διὰ τὴν τοῦ πάντα αὐξη-
τικῶς ἐθέλειν λέγειν φιλοτιμίαν· ἔστι μὲν
γὰρ ὑπόθεσις αὐτῷ τοῦ Πανηγυρικοῦ λόγου,
ὡς ἡ Ἀθηναίων πόλις ταῖς εἰς τοὺς Ἕλλη-
νας εὐεργεσίαις ὑπερβάλλει τὴν Λακεδαι-

* * *vitioſæ ſunt* etiam hujuſmodi *Hyperbolæ:* “Si vos non cerebrum in “plantis pedum procul-“catum geratis.” Quare oportet ſcire, quo uſque res unaquæque extra limites ferenda ſit: nonnunquam enim *valdè* modum excedere, evertit Hyperbolam, et hujuſmodi res nimis intentæ laxantur, aliquando etiam in contrarias commutantur. Ergo Iſocrates, neſcio quomodo, pueriliter egit præ ſtudio dicendi omnia ampliore modo; apud illum enim argumentum eſt Panegyricæ orationis, civitatem Athenienſium civitate Lacedæmoniorum ſuperiorem eſſe beneficiis

μανιῶν· ὁ δ' εὐθὺς ἐν τῇ εἰσβολῇ ταῦτα
τίθησιν· " Ἐπεὶ δ' οἱ λόγοι τοιαύτην ἔχουσι
" δύναμιν, ὥσθ' οἷόν τ' εἶναι καὶ τὰ μεγάλα
" ταπεινὰ ποιῆσαι, καὶ τοῖς μικροῖς περιθεῖναι
" μέγεθος, καὶ τὰ παλαιὰ καινῶς εἰπεῖν, καὶ
" περὶ τῶν νεωστὶ γεγενημένων ἀρχαίως διε-
" ξελθεῖν." Οὐκοῦν, φησί τινες, Ἰσόκρατες,
οὕτως μέλλεις καὶ τὰ περὶ Λακεδαιμονίων καὶ
Ἀθηναίων ἐναλλάττειν; σχεδὸν γὰρ τὸ τῶν
λόγων ἐγκώμιον ἀπιστίας τῆς καθ' αὑτοῦ τοῖς
ἀκούουσι παράγγελμα καὶ προοίμιον ἐξέθηκε.
Μήποτ' οὖν ἄρισται τῶν ὑπερβολῶν (ὡς καὶ
ἐπὶ τῶν σχημάτων προείπομεν) αἱ αὐτὸ τοῦτο

in Græciam collatis: ille verò ſtatim in initio *ejus* hæc ponit: " Præterea " verba tantam vim ha- " bent, ut *ſcriptor* poſſit " et res magnas humiles " efficere, et parvas mag- " nitudine veſtire, et ve- " nuſtas novo more di- " cere, et de nuper factis " antiquo more diſſere- " re." Siccine igitur, Iſocrates, (dicit aliquis) ea, quæ ad Lacedæmonios et Athenienſes attinent, immutaturus es? propè enim fecit illud verborum encomium præceptum quoddam audientibus et præmonitionem nè ipſi crederent. *Vide* igitur ne illæ Hyperbolæ optimæ ſint, (ut etiam de Figuris antea diximus,)

διαλανθάνουσι, ὅτι εἰσὶν ὑπερβολαί. Γίνεται δὲ τοιόνδε, ἐπειδὰν ὑπὸ ἐκπαθείας μεγέθει τινὶ συνεκφωνῶνται περιστάσεως· ὅπερ ὁ Θουκυδίδης ἐπὶ τῶν ἐν Σικελίᾳ φθειρομένων ποιεῖ. "Οἵ τε γὰρ Συρακούσιοι, φησὶν, ἐπι-
"καταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα
"ἔσφαζον. Καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο·
"ἀλλ' οὐδὲν ἧσσον ἐπίνετο ὁμοῦ τῷ πηλῷ
"ἡματωμένον, καὶ τοῖς πολλοῖς ἔτι ἦν περι-
"μάχητον." Αἷμα καὶ πηλὸν πινόμενα ὅμως εἶναι περιμάχητα ἔτι, ποιεῖ πιστὸν ἡ τοῦ πάθους ὑπεροχὴ καὶ περίστασις. Καὶ τὸ Ἡροδότειον ἐπὶ τῶν ἐν Θερμοπύλαις ὅμοιον· "Ἐν τούτῳ

quæ hoc ipſum celant, quòd ſint Hyperbolæ. Hoc verò evenit, quum præ maximo affectu *illæ Hyperbolæ* pronunciantur unà cum magnitudine quâdam circumſtantiæ: quod Thucydides facit de iis qui in Siciliâ periêrunt: "Syracuſani e-
"nim (inquit) illuc de-
"ſcendentes trucidârunt
"eos potiſſimum, qui in
"fluvio erant: et aqua
"ſtatim fuit inquinata;
"ſed nihilominus bibe-
"batur ſanguine, cum
"limo ſimul, infecta, et
"pro eâ multi pugna-
"bant." Sanguinem, limumque potos ſimul, eſſe id etiam, pro quo dimicarent, credibile facit ſumma vis affectûs et circumſtantia. Et illud Herodoti de iis, qui Thermopylis *interfecti ſunt* ſimile eſt: "In hoc

“(φησὶν) ἀλεξομένους μαχαίρῃσιν (ὅσοις
“αὐτῶν ἔτι ἐτύγχανον περιοῦσαι) καὶ χερσὶ
“καὶ στόμασι, κατέχωσαν οἱ βάρβαροι βάλ-
“λοντες.” Ἐνταῦθ' οἷον ἐστὶ τὸ “καὶ στόμασι
“μάχεσθαι” πρὸς ὡπλισμένους, καὶ ὁποῖόν τι
τὸ “κατακεχῶσθαι βέλεσιν,” ἐρεῖς; πλὴν
ὁμοίως ἔχει πίστιν· οὐ γὰρ τὸ πρᾶγμα ἕνεκα
τῆς ὑπερβολῆς παραλαμβάνεσθαι δοκεῖ, ἡ
ὑπερβολὴ δ' εὐλόγως γεννᾶσθαι πρὸς τοῦ
πράγματος· Ἔστι γὰρ (ὡς οὐ διαλείπω λέ-
γων) παντὸς τολμήματος λεκτικοῦ λύσις
καὶ πανάκειά τις τὰ ἐγγὺς ἐκστάσεως ἔργα
καὶ πάθη. Ὅθεν καὶ τὰ κωμικά, καίτοι γ'

“(inquit) *loco* Barbari “jacula mittentes tumu-“lavêrunt *illos* defenſan-“tes ſe gladiis (quibuſ-“cunque ex iis *gladii* “fortè adhuc ſupere-“rant) et manibus et “oribus.” Illîc quale eſt (dices) id, “etiam ori-“bus pugnare” contra armatos, et quid iſtud, “tumulari jaculis?” ſed eodem modo credibile eſt: non enim videtur res aſſumi propter Hyperbolam, Hyperbola verò ritè naſci ex re. Opera enim (ut non deſinam *hoc* dicere) furori confinia et affectus ſunt ſolutio remediumque quoddam univerſale omnigenæ in elocutione audaciæ: Unde etiam *dicta*

εἰς ἀπιστίαν ἐκπίπτοντα, πιθανὰ διὰ τὸ γελοῖον·

Ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς
Λακωνικῆς.

Καὶ γὰρ ὁ γελὼς πάθος ἐν ἡδονῇ. Αἱ δ' ὑπερβολαὶ καθάπερ ἐπὶ τὸ μεῖζον, οὕτω καὶ ἐπὶ τοὔλαττον· ἐπειδὴ κοινὸν ἀμφοῖν ἡ ἐπίτασις, καί πως ὁ διασυρμὸς ταπεινότητός ἐστιν αὔξησις.

Sect. XXIX. Ἡ πέμπτη μοῖρα τῶν συντελουσῶν εἰς τὸ ὕψος, ὧν γε ἐν ἀρχῇ προὐθέμεθα, ἔθ' ἡμῖν λείπεται, ὦ κράτιστε, ἡ διὰ τῶν λόγων αὐτὴ

Comica, licet in incredibile quid decidant, fidem habent propter *id, quod in illis eſt*, ridiculum:

Agrum habuit habentem
in ſe terram minorem
Epiſtolâ
Laconicâ.

Etenim riſus affectus in voluptate *poſitus.* Hyperbolæ verò ut ad id quod majus eſt *dicunt*, ita etiam ad id quod minus eſt; quia intentio eſt res communis utrique, et Diaſyrmus eſt incrementum humilitatis.

Quinta pars *rerum* perficientium Sublimitatem, quas in initio propoſuimus, adhuc nobis reliqua eſt, *Vir optime*; *ſcilicet* verborum certa

ποιὰ σύνθεσις· ὑπὲρ ἧς ἐν δυσὶν ἀποχρών-
τως ἀποδεδωκότες συντάγμασιν ὅσα γε τῆς
θεωρίας ἦν ἡμῖν ἐφικτὰ, τοσοῦτον δ' ἐξ ἀνάγ-
κης προσθείημεν ἂν εἰς τὴν παροῦσαν ὑπόθεσιν·
ὡς οὐ μόνον ἐστὶ πειθοῦς καὶ ἡδονῆς ἡ ἁρμονία
φυσικὸν ἀνθρώποις [ἐνέργημα], ἀλλὰ καὶ
μετ' ἐλευθερίας καὶ πάθους θαυμαστόν τι
ὄργανον. Οὐ γὰρ αὐλὸς μὲν ἐντίθησι τινα
πάθη τοῖς ἀκροωμένοις, καὶ οἷον ἔκφρονας
καὶ κορυβαντιασμοῦ πλήρεις ἀποτελεῖ, καὶ βά-
σιν ἐνδοὺς τινα ῥυθμοῦ πρὸς ταύτην ἀναγ-
κάζει βαίνειν ἐν ῥυθμῷ, καὶ συνεξομοιοῦσθαι
τῷ μέλει τὸν ἀκροατὴν, κἂν ἄμουσος ᾖ παν-

quædam Collocatio: de quâ cum in duobus libris ſatìs expoſuimus quæcunque ad nos obſervatione pervenerint, tantum ex neceſſitate addamus *huic* præſenti argumento; quòd Harmonia *verborum* eſt non ſolùm naturale hominibus perſuaſionis et voluptatis, ſed etiam (cum libertate *tamen)* Affectûs admirabile quoddam inſtrumentum: Nonne enim Tibia inſerit Affectus quoſdam audientibus, eoſque reddit velut mente captos et ſacro furore plenos, et adhibens quandam poſitionem numeri ad eam cogit auditorem movere in numero, eoſdemque, quos melos habet, motus animo ſequi, etiamſi *ille auditor*

πάπασι; καὶ νὴ Δία φθόγγοι κιθάρας, οὐδὲν ἁπλῶς σημαίνοντες, ταῖς τῶν ἤχων μεταβολαῖς, καὶ τῇ πρὸς ἀλλήλους κράσει καὶ μίξει τῆς συμφωνίας, θαυμαστὸν ἐπάγουσι πολλάκις, ὡς ἐπίστασαι, θέλγητρον· καίτοι ταῦτα τὰ εἴδωλα καὶ μιμήματα νόθα ἐστὶ πειθοῦς, οὐχὶ τῆς ἀνθρωπείας φύσεως, ὡς ἔφην, ἐνεργήματα γνήσια. Οὐκ οἰόμεθα δ᾽ ἄρα τὴν σύνθεσιν, ἁρμονίαν τινὰ οὖσαν λόγων ἀνθρώποις ἐμφύτων, καὶ τῆς ψυχῆς αὐτῆς οὐχὶ τῆς ἀκοῆς μόνης ἐφαπτομένων, ποικίλας κινοῦσαν ἰδέας ὀνομάτων, νοήσεων, πραγμάτων, κάλλους, εὐμελείας, πάντων

ſit omnino muſicæ ignarus? et meherculè voces Citharæ, nihil omnino ſignificantes, *nonne* ſæpe admirabile (ut ſciunt *homines*) oblectamentum afferunt immutationibus ſonorum, *eorumque* inter ſe pulſatione et mixturâ Symphoniæ; quamvis hæc ſunt imagines *tantùm* ſpuriæque imitationes perſuaſionis, non humanæ (ut dixi) operationes genuinæ? Annon putamus igitur Structuram, cum ſit harmonia quædam verborum à naturâ hominibus inſitorum, et ad animum ipſum uſque, non ad aures ſolas, pervenientium; cum varias excitet ideas verborum, ſenſuum, rerum, venuſtatis, modulationis, omnium in no-

ἡμῖν ἐντρόφων καὶ συγγενῶν, καὶ ἅμα τῇ μίξει καὶ πολυμορφίᾳ τῶν ἑαυτῆς φθόγγων τὸ παρεστὼς τῷ λέγοντι πάθος εἰς τὰς ψυχὰς τῶν πέλας παρεισάγουσαν, καὶ εἰς μετουσίαν αὐτοῦ τοὺς ἀκούοντας ἀεὶ καθιστᾶσαν, τῇ τε τῶν λέξεων ἐποικοδομήσει τὰ μεγέθη συναρμόζουσαν, δι' αὐτῶν τούτων κηλεῖν τε ὁμοῦ, καὶ πρὸς ὄγκον τε, καὶ ἀξίωμα, καὶ ὕψος, καὶ πᾶν, ὃ ἐν αὐτῇ περιλαμβάνει, ἡμᾶς ἑκάστοτε συνδιατιθεῖσαν, παντοίως ἡμῶν τῆς διανοίας ἐπικρατοῦσαν; Ἀλλ' εἴη καὶ μανία τὸ περὶ τῶν οὕτως ὁμολογουμένων διαπορεῖν· ἀποχρῶσα γὰρ ἡ πεῖρα πίστις. Ὑψηλόν γε

bis innutritorum, et nobiſcum natorum; et cùm ſimul mixturâ varietateque ſuorum ſonorum inducat eum affectum, qui oratori adeſt, in animos eorum, qui ſunt prope; et cum auditores ſemper efficiat illius participes, et cum verborum *aliorum ſuper alia* ædificationi aptet Sublimia; *An non putamus (inquam)* *Structuram* his ipſis et allicere ſimul *nos*, et ad granditatem dignitatemque, et ad Sublimitatem, et ad omne, quod in ſe ipſa complectitur, nos ſemper diſponere, omnino animi noſtri imperium habentem? Sed vel amentia eſt de iis, quæ ſic in confeſſo ſunt, diſputare; experientia enim eſt probatio idonea. Sub-

τοῦ δοκεῖν νόημα, καὶ ἔτι τοῦ ὄντι θαυμάσιον, ὃ τῷ ψηφίσματι ὁ Δημοσθένης ἐπιφέρει· "Τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πό-" "λει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν," "ὥσπερ νέφος." Ἀλλ' αὐτῆς τῆς διανοίας οὐκ ἔλαττον τῇ ἁρμονίᾳ πεφώνηται· ὅλον τε γὰρ ἐπὶ τῶν δακτυλικῶν εἴρηται ῥυθμῶν, εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί· διὸ καὶ τὸ ἡρῷον, ὧν ἴσμεν κάλλιστον, μέτρον συνιστᾶσιν· τότε * * ἐπείτοιγε ἐκ τῆς ἰδίας αὐτὸ χώρας μετάθες, ὅποι δὴ ἐθέλεις, "Τοῦτο "τὸ ψήφισμα, ὥσπερ νέφος, ἐποίησε τὸν τότε

limis hic ſenſus videtur, et eſt reverà admirabilis, quem de plebiſcito profert Demoſthenes: "Hoc "plebiſcitum fecit, ut "periculum, quod ur- "bem tunc temporis cir- "cumſtetit, velut nubes "tranſiret." Sed ob harmoniam non minus quàm ob ſententiam ſonorus eſt: totus enim *ſenſus* per dactylicos numeros dictus eſt; hi verò ſunt nobiliſſimi et Sublimitatem efficientes; quapropter metrum Heröum, eorum quæ novimus præſtantiſſimum, conſtituunt. *Et hoc,* ὥσπερ νέφος, *ritè claudit ſententiam*; nam ex proprio loco illud transfer, ubi ſanè velis, *ut ſit exempli gratiâ*, τοῦτο τὸ ψήφισμα, ὥσπερ νέφος, ἐποίησε τὸν τότε

“κίνδυνον παρελθεῖν,” ἢ νὴ Δία μίαν ἀπόκοψον συλλαβὴν μόνον, “ἐποίησε παρελθεῖν ὡς νέφος,” καὶ εἴσῃ πόσον ἡ ἁρμονία τῷ ὕψει συνηχεῖ. Αὐτὸ γὰρ τὸ, “ὥσπερ νέφος,” ἐπὶ μακροῦ τοῦ πρώτου ῥυθμοῦ βέβηκε τέτρασι καταμετρουμένου χρόνοις· ἐξαιρεθείσης δὲ τῆς μιᾶς συλλαβῆς, “ὡς νέφος,” εὐθὺς ἀκρωτηριάζει τῇ συγκοπῇ τὸ μέγεθος. Ὡς ἔμπαλιν, ἐὰν ἐπεκτείνης, “παρελθεῖν ἐποίησεν, ὡσπερεὶ νέφος,” τὸ αὐτὸ σημαίνει, οὐ τὸ αὐτὸ δὲ ἔτι προσπίπτει· ὅτι τῷ μήκει τῶν ἄκρων χρόνων συνεκλύεται καὶ διαχαλᾶται τοῦ ὕψους τὸ ἀπότομον.

κίνδυνον παρελθεῖν, vel mehercule unam ſolam ſyllabam *ejus* reſcinde, *ut ſit*, ἐποίησε παρελθεῖν, ὡς νέφος, et videbis quantum harmonia cum Sublimitate conſpiret; Hoc enim ipſum, ὥσπερ νέφος, primo numero longo incedit quatuor temporibus dimenſo; ſed, abſciſſâ unâ Syllabâ, *ut ſit*, ὡς νέφος, ſtatim *illud* imminuit abſciſſione Sublimitatem: Ut è contrario, ſi *illud* extendas, *ut ſit*, παρελθεῖν, ὡσπερεὶ νέφος, idem ſignificat: non tamen idem *jam* cadit; quia longitudine ultimorum temporum diſſolvitur et relaxatur ea Sublimitas, quæ *nunc* præciſè abrupta eſt.

Sect. XL. Ἐν δὲ τοῖς μάλιστα μεγεθοποιεῖ τὰ λεγόμενα, καθάπερ τὰ σώματα, ἡ τῶν μελῶν ἐπισύνθεσις· ὧν ἓν μὲν οὐδὲν, τμηθὲν ἀφ' ἑτέρου, καθ' ἑαυτὸ ἀξιόλογον ἔχει, πάντα δὲ μετ' ἀλλήλων ἐκπληροῖ τέλειον σύστημα· οὕτως τὰ μεγάλα, σκεδασθέντα μὲν ἀπ' ἀλλήλων ἄλλο ἄλλῃ, ἅμα ἑαυτοῖς συνδιαφορεῖ καὶ τὸ ὕψος· σωματοποιούμενα δὲ τῇ κοινωνίᾳ, καὶ ἔτι τῷ δεσμῷ τῆς ἁρμονίας περικλειόμενα, αὐτῷ τῷ κύκλῳ φωνήεντα γίνεται· καὶ σχεδὸν ἐν ταῖς περιόδοις ἔρανός ἐστι πλήθους τὰ μεγέθη. Ἀλλὰ μὴν, ὅτι τε πολλοὶ καὶ συγγραφέων καὶ ποιητῶν, οὐκ ὄντες

Imprimis verò magna reddit ea quæ dicuntur, eodem modo quo corpopora, membrorum connexiò; quorum *ſc. corporum* unum *membrum*, ab alio abſciſſum, nihil per ſe habet dignitatis, omnia verò inter ſe perfectam faciunt *corpoream* molem: ſimiliter membra *orationis*, ab ſe invicem alia alibi diſſipata, ſecum diſtrahunt etiam Sublimitatem; ſed cum in corpus *velut* redigantur communicatione *quâdam*, prætereà cum conſtringantur vinculo harmoniæ, ipſo ambitu ſonora fiunt; et in periodis Sublimia ſunt quaſi ſymbola à multitudine *collecta*. Quinetiam ſatis à nobis declaratum eſt, quòd multi ſolutæ orationis ſcriptores et poëtæ, cum non eſſent na-

ὑψηλοὶ φύσει, μήποτε δὲ καὶ ἀμεγέθεις, ὅμως κοινοῖς καὶ δημώδεσι τοῖς ὀνόμασι, καὶ οὐδὲν ἐπαγομένοις περιττὸν, ὡς τὰ πολλὰ συγχρώμενοι, διὰ μόνου τοῦ συνθεῖναι καὶ ἁρμόσαι ταῦτα, ὅμως ὄγκον καὶ διάστημα, καὶ τὸ μὴ ταπεινοὶ δοκεῖν εἶναι περιεβάλοντο, (καθάπερ ἄλλοι τε πολλοὶ, καὶ Φίλιστος, Ἀριστοφάνης ἔν τισιν, ἐν τοῖς πλείστοις Εὐριπίδης,) ἱκανῶς ἡμῖν δεδήλωται. Μετά γέ τοι τὴν τεκνοκτονίαν Ἡρακλῆς φησι,

Γέμω κακῶν δὴ, κοὐκέτ᾽ ἔσθ᾽ ὅπη τεθῇ·

Σφόδρα δημῶδες τὸ λεγόμενον, ἀλλὰ γέ-

turâ Sublimes, fortè autem *cum eſſent* etiam humiles, cumque adhæc uterentur plerumque verbis communibus et vulgaribus, nihilque exquiſitæ elegantiæ exhibentibus, tamen ſolùm collocando hæc et aptando, granditatem et Sublimitatem, et ut ne humiles viderentur eſſe, conſecuti ſunt, (ut *fecerunt* aliique multi, et Philiſtus, Ariſtophanes in quibuſdam *locis*, in plurimis Euripides.) *Apud hunc poſtremum* Hercules poſt ſuorum liberorum occiſionem dicit,

Plenus ſum malis, neque jam locus eſt ubi aliud *ponatur*;

Id, quod dicitur, valdè vulgare eſt, ſed fit Sub-

γονεν ὑψηλὸν τῇ πλάσει ἀνάλογον· εἰ δ' ἄλλως αὐτὸ συναρμόσεις, φανήσεταί σοι, διότι τῆς συνθέσεως ποιητὴς Εὐριπίδης μᾶλλόν ἐστιν, ἢ νοῦ. Ἐπὶ δὲ τῆς συρομένης ὑπὸ τοῦ ταύρου Δίρκης,

—— Εἰ δέ που
Τύχοι περιξ ἑλίξας, εἷλχ' ὁμοῦ λαβὼν
Γυναῖκα, πέτραν, δρῦν, μεταλλάσσων ἀεί.

Ἔστι μὲν γενναῖον τὸ λῆμμα, ἁδρότερον δὲ γέγονε τῷ τὴν ἁρμονίαν μὴ κατεσπεῦσθαι, μηδ' οἷον ἐν ἀποκυλίσματι φέρεσθαι· ἀλλὰ

lime quia ſtructurâ *verborum* reſpondet *rei*, *de quâ agitur*: quòd ſi alio modo id colloces, apparebit tibi manifeſtum, Euripidem eſſe poëtam *vi* compoſitionis magis quàm ſenſûs. De Dirce verò raptatâ à tauro *dicit*,

—— *Sicubi verò* taurus
Inciderit, *circumquaque ſe vertens*, *unà traxit prehendens*
Mulierem, *rupem*, *quercum*, *ſemper* ſuum curſum *immutans*.

Circumſtantia quidem eſt nobilis, ſed vehementior facta eſt ex eo quòd harmonia non præcipitetur, neque velut machinâ quidem ad volvendum aptâ feratur; ſed quòd

στηριγμοὺς τε ἔχειν πρὸς ἄλληλα τὰ ὀνόματα, καὶ ἐξερείσματα τῶν χρόνων, πρὸς ἑδραῖον διαβεβηκότα μέγεθος.

Μικροποιὸν δ' οὐδὲν οὕτως ἐν τοῖς ὑψηλοῖς, ὡς ῥυθμὸς κεκλασμένος λόγῳ καὶ σεσοβημένος, οἷον δὲ πυῤῥίχιοι καὶ τροχαῖοι καὶ διχόρειοι, τέλεον ὡς ὀρχηστικὸν συνεκπίπτοντες· εὐθὺς γὰρ πάντα φαίνεται τὰ κατάρυθμα κομψὰ, καὶ μικροχαρῆ, καὶ ἀπαθέστατα, διὰ τῆς ὁμοειδίας ἐπιπολάζοντα. Καὶ ἔτι τούτων τὸ χείριστον, ὅτι ὥσπερ τὰ ᾠδάρια τοὺς ἀκροατὰς ἀπὸ τοῦ πράγματος ἀφέλκει καὶ ἐφ' αὑτὰ βιάζεται, οὕτως καὶ Sect. XLI.

verba habeant quædam, quibus alia aliis obſtent, quibuſque mora fiat temporibus, evadentia ad ſtabilem Sublimitatem.

Nihil verò eſt, quod tam minuta reddit Sublimia, quàm numerus in oratione fractus et concitatus; cujus generis quidem *ſunt* Pyrrichii et Trochæi et Dichorei, prorſus in ſaltatorium *modum* incidentes: ſtatim enim omnia ea, quæ ultra modum numeroſa ſunt, videntur ſcita eſſe, et minuta, et affectibus maximè carentia, quia eodem ſemper modo procedunt. Et adhuc horum peſſimum eſt, quòd, ut cantica, auditores à re abſtrahunt et ad ipſa vi

"θαλάσσης." "Ὡς τὸ "ζεσάσης" πολὺ τὸ ὕψος περισπᾷ διὰ τὸ κακόστομον. Ἀλλ' "ὁ ἄνεμος, φησὶν, ἐκόπασε·" καὶ, τοὺς περὶ τὸ ναυάγιον ἐκβρασσομένους ἐξεδέχετο "τέλος ἄχαρι." Ἄσεμνον γὰρ τὸ "κοπιάσαι" καὶ ἰδιωτικόν· τὸ δ' "ἄχαρι" τηλικούτου πάθους ἀνοίκειον. Ὁμοίως καὶ ὁ Θεόπομπος, ὑπερφυῶς σκευάσας τὴν τοῦ Πέρσου κατάβασιν ἐπ' Αἴγυπτον, ὀνοματίοις τισὶ τὰ ὅλα διέβαλεν. "Ποῖα γὰρ πόλις, "ἢ ποῖον ἔθνος τῶν κατὰ τὴν Ἀσίαν, οὐκ "ἐπρεσβεύετο πρὸς βασιλέα; τί δὲ τῶν ἐκ "τῆς γῆς γεννωμένων, ἢ τῶν κατὰ τέχνην ἐπι-

θαλάσσης ut fervente mari: Ut illa vox ζεσάσης multam Sublimitatem *de ſententiâ* detrahit propter malum *vocis* ſonum! Simul dicit, ὁ ἄνεμος ἐκοπίασε, *ventus laborabat*; et, ii, qui in naufragio deprehendebantur, habuerunt *exitum* ἄχαρι *ingratum:* minus grave eſt illud *verbum* κοπιάσαι et vulgare; hoc verò ἄχαρι non eſt tali affectui aptum.

Similiter et Theopompus, cum Sublimem in modum paraſſet *deſcribere* deſcenſum Perſarum in Ægyptum, verbis quibuſdam minutis omnia reddidit odioſa: "Quæ "enim civitas, vel quæ "gens ex iis, quæ in "Aſiâ ſunt, non legatos "miſerunt ad Regem? "quid verò ex iis, quæ "terrâ proveniunt, vel "ex iis rebus, quæ arte

“ τελεσμένων, καλῶν ἢ τιμίων, οὐκ ἐκο-
“ μίσθη δῶρον ὡς αὐτόν; Οὐ πολλαὶ μὲν
“ καὶ πολυτελεῖς στρωμναὶ καὶ χλανίδες, τὰ
“ μὲν ἁλουργεῖς, τὰ δὲ ποικιλταί, τὰ δὲ
“ λευκαί, πολλαὶ δὲ σκηναὶ χρυσαῖ κατε-
“ σκευασμέναι πᾶσι τοῖς χρησίμοις, πολλαὶ
“ δὲ καὶ ξυστίδες καὶ κλῖναι πολυτελεῖς; ἔτι δὲ
“ καὶ κοῖλος ἄργυρος καὶ χρυσὸς ἀπειργασ-
“ μένος, καὶ ἐκπώματα καὶ κρατῆρες, ὧν τοὺς
“ μὲν λιθοκολλήτους, τοὺς δ' ἄλλους ἀκρι-
“ βῶς καὶ πολυτελῶς εἶδες ἂν ἐκπεπονη-
“ μένους; Πρὸς δὲ τούτοις ἀναρίθμητοι μὲν
“ ὅπλων μυριάδες, τῶν μὲν Ἑλληνικῶν, τῶν δὲ

“ elaborantur, pulchris “ vel pretioſis, non dono “ illi miſſum fuit: nonne multæ ſumptuoſæ “ erant ſtragulæ et veſtes, partim purpureæ, “ partim pictæ, partim albæ? *nonne* multa tentoria aurata *miſſa erant*, “ omnibus rebus utilibus inſtructa? *nonne* “ multæ etiam veſtes tricliniares lectique pretioſi? *nonne* inſuper etiam cælatum argentum aurumque fabricatum, poculaque et “ crateres, quorum alios “ videres gemmis adhærentibus ornatos, alios “ verò accuratè et ſumptuosè elaboratos? Adhuc etiam *ad eum mittebantur* innumeræ armorum myriades, partim Græcorum, par-

“ βαρβαρικῶν· ὑπερβάλλοντα δὲ τὸ πλῆθος
“ ὑποζύγια, καὶ πρὸς κατακοπὴν ἱερεῖα σι-
“ τευτά· καὶ πολλοὶ μὲν ἀρτυμάτων μέδιμνοι,
“ πολλοὶ δὲ θύλακοι καὶ σάκκοι καὶ χάρται
“ βιβλίων, καὶ τῶν ἄλλων ἁπάντων χρησι-
“ μων. Τοσαῦτα δὲ κρέα τεταριχευμένα
“ παντοδαπῶν ἱερείων, ὡς σωροὺς αὐτῶν γε-
“ νέσθαι τηλικούτους, ὥστε τοὺς προσιόντας πόρ-
“ ρωθεν ὑπολαμβάνειν ὄχθους εἶναι καὶ λό-
“ φους συνωθουμένους.” Ἐκ τῶν ὑψηλοτέρων
ἐπὶ τὰ ταπεινότερα ἀποδιδράσκει, δέον ποιή-
σασθαι τὴν αὔξησιν ἔμπαλιν· ἀλλὰ καὶ τῇ
θαυμαστῇ τῆς ὅλης παρασκευῆς ἀπαγγελίᾳ

“ tim Barbaricorum; et
“ excedentia numerum
“ jumenta, victimæque
“ ad cædem *deſignatæ:*
“ adhuc etiam multi con-
“ dimentorum modii,
“ multique culeoli et
“ ſacchi chartarum, et
“ librorum, aliarumque
“ omnium rerum uti-
“ lium: Tot verò *miſſæ*
“ *erant* carnes ſale con-
“ ditæ omnigenarum pe-
“ cudum, ut acervi ea-
“ rum tanti eſſent, ut
“ illi, qui accederent, è
“ longinquo ſuſpicaren-
“ tur *eos* eſſe colles tu-
“ muloſque alteros con-
“ tra alteros erectos.” Ex
Sublimioribus ad humi-
miliora fugit, cum opor-
teret illum feciſſe incre-
mentum vice verſâ: ſi-
mul admirabili totius
apparatûs narrationi ad-

παραμίξας τοὺς θυλάκους καὶ τὰ ἀρτύματα καὶ τὰ σακκία, μαγειρείου τινὰ φαντασίαν ἐποίησεν· ὥσπερ γάρ, εἴ τις ἐπ' αὐτῶν ἐκείνων τῶν προκοσμημάτων, μεταξὺ τῶν χρυσίων, καὶ λιθοκολλήτων κρατήρων, καὶ ἀργύρου κοίλου, σκηνῶν τε ὁλοχρύσων, καὶ ἐκπωμάτων, φέρων μέσα ἔθηκε θυλάκια καὶ σακκία, ἀπρεπὲς ἂν ἦν τῇ προσόψει τὸ ἔργον· οὕτω καὶ τῆς ἑρμηνείας τὰ τοιαῦτα ὀνόματα αἴσχη, καὶ οἱονεὶ στίγματα καθίσταται, παρὰ καιρὸν ἐγκατατασσόμενα. Παρέκειτο δ' ὡς ὁλοσχερῶς ἐπελθεῖν καὶ οὓς ὄχθους λέγει συμβεβλῆσθαι, καὶ περὶ τῆς ἄλλης παρασκευῆς οὕτως,

miſcens culeolos et condimenta et ſacculos, imaginem quandam culinæ fecit: ut enim, ſi quis ſuper hæc ipſa ornamenta, inter crateras aureos et gemmatos, interque cælatum argentum, et tentoria ex omni parte aurata, et pocula, ferret poneretque medios culeolos ſacculoſque, indecorum eſſet viſu opus; ſic etiam hujuſmodi verba ſunt dedecora elocutionis, et velut notæ *ei inuſtæ*, cum ſint intempeſtivè ibi interpoſita. Potuit autem quaſi ſummatim percurrere etiam eos, quos dicit conjecturâ habitos eſſe colles, et de cætero apparatu ſic *orationem* immutando dicere,

"Ἁμάξας, εἶπεν, καὶ καμήλους, καὶ πλῆ-
"θος ὑποζυγίων φορταγούντων πάντα τὰ
"πρὸς τρυφὴν καὶ ἀπόλαυσιν τραπεζῶν
"χορηγήματα·" ἢ "σωροὺς ὀνομάσαι παν-
"τοίων σπερμάτων, καὶ τῶν ἅπερ διαφέρει
"πρὸς ὀψοποιΐας καὶ ἡδυπαθείας·" ἢ πάν-
"τα, ὡς ἐβούλετο, αὐτάρκη οὕτως θεῖναι,
"καὶ ὅσα τραπεζοκόμων καὶ ὀψοποιῶν ἡδύσ-
"ματα." Οὐ γὰρ δεῖ καταντᾷν ἐν τοῖς
ὕψεσιν εἰς τὰ ῥυπαρὰ καὶ ἐξυβρισμένα, ἂν
μὴ σφόδρα ὑπό τινος ἀνάγκης συνδιωκώ-
μεθα· ἀλλὰ τῶν πραγμάτων πρέποι ἂν καὶ
τὰς φωνὰς ἔχειν ἀξίας, καὶ μιμεῖσθαι τὴν

"Camelos, multitudi-
"nemque jumentorum
"ſubvectantium omnia,
"quæ ſunt ſuppedita-
"menta menſarum ad
"luxuriam et delicias:"
vel appellare *eos*, acer-
"vos omnis generis fru-
"menti, et eorum, quæ
"præſtantiſſima ſunt ad
"opſonia et delicias;"
vel (ſi omnia *voluerit*, ut
voluit, ſufficientia ſic ex-
ponere) etiam dicere,
"quæcunque ſunt deli-
"ciæ eorum qui menſas
"ſtruunt, eorumque qui
"opſonia parant." Ne-
que enim oportet in Sub-
limibus deſcendere ad
ſordida *verba* et inquina-
ta, niſi ab aliquâ neceſſi-
tate valdè adigamur: ſed
decet habere voces re-
ſpondentes dignitati re-
rum, imitarique natu-

δημιουργήσασαν φύσιν τὸν ἄνθρωπον, ἥτις ἐν ἡμῖν τὰ μέρη τὰ ἀπόρρητα οὐκ ἔθηκεν ἐν προσώπῳ, οὐδὲ τὰ τοῦ παντὸς ὄγκου περιηθήματα· ἀπεκρύψατο δὲ, ὡς ἐνῆν, καὶ, κατὰ τὸν Ξενοφῶντα, "τούτων ὅτι πορρωτάτω "ὀχετοὺς ἀπέστρεψεν," οὐδαμῇ καταισχύνασα τὸ τοῦ ὅλου ζώου κάλλος.

Ἀλλὰ γὰρ οὐκ ἐπ' εἴδους ἐπείγει τὰ μικροποιὰ διαριθμεῖν· προϋποδεδειγμένων γὰρ τῶν ὅσα εὐγενεῖς καὶ ὑψηλοὺς ἐργάζεται τοὺς λόγους, δῆλον ὡς τὰ ἐναντία τούτων ταπεινοὺς ποιήσει κατὰ τὸ πλεῖστον καὶ ἀσχήμονας.

Ἐκεῖνο μέντοι λοιπὸν, ἕνεκα τῆς σῆς Sect. XLIV.

ram hominis creatricem, quæ in nobis neque partes non nominandas poſuit in conſpectu, neque excolamenta totius *corporeæ* molis; abſcondidit verò, quantùm potuit, et, ſecundum Xenophontem, "harum rerum canales quàm longiſſimè "avertit," non fœdans totius animalis pulchritudinem.

Sed enim non neceſſe eſſe ſingulatim ea, quæ minuunt orationem, enumerare: cum enim anteà oſtendimus omnia ea, quæ nobilia Sublimiaque efficiunt ſcripta, manifeſtum eſt, quòd his contraria humilia *ea* plerumque et indecora reddent.

Illud ſanè reliquum non gravabimur, Tuæ

χρηστομαθείας, οὐκ ὀκνήσομεν ἐπιπροσθεῖναι, καὶ διασαφῆσαι, Τερεντιανὲ φίλτατε, ἅπερ ἐζήτησέ τις τῶν φιλοσόφων προσέναγχος, Θαῦμά μ' ἔχει, λέγων, ὡς ἀμέλει καὶ ἑτέρους πολλούς, πῶς ποτε κατὰ τὸν ἡμέτερον αἰῶνα πιθαναὶ μὲν ἐπ' ἄκρον καὶ πολιτικαί, δριμεῖαί τε καὶ ἐντρεχεῖς, καὶ μάλιστα πρὸς ἡδονὰς λόγων εὔφοροι, ὑψηλαὶ δὲ λίαν καὶ ὑπερμεγέθεις, πλὴν εἰ μή τι σπάνιον, οὐκέτι γίνονται φύσεις· τοσαύτη λόγων κοσμικὴ τις ἐπέχει τὸν βίον ἀφορία. Ἦ, νὴ Δί', ἔφη, πιστευτέον ἐκείνῳ τῷ θρυλλουμένῳ, ὡς ἡ δημοκρατία τῶν μεγάλων ἀγαθὴ τιθηνός,

diſcendi cupiditatis gratiâ, addere, et explicare id, Terentiane chariſſime, quod nuper quæſivit quidam ex Philoſophis, dicens, Miror ego, perinde ac multi alii, quî fiat ut in ætate noſtrâ *ſint* ingenia ad perſuadendum maximè apta et in forenſibus cauſis tractandis perita, acriaque et aſpera, et præcipuè ad ſuavitates ſcriptorum facta; non verò jam ſint (ſi rarum quiddam excipias) Sublimia valdè et magnifica: tanta prorſùs in hac parte ſcriptorum ſterilitas ſæculum circumdat. Num mehercùlè (dixit) credendum eſt trito illi dicto, Rempublicam eſſe bonam nutri-

ἣ μόνη σχεδὸν καὶ συνήκμασαν οἱ περὶ λόγους δεινοὶ καὶ συναπέθανον; Θρέψαι τε γὰρ, φησὶν, ἱκανὴ τὰ φρονήματα τῶν μεγαλοφρόνων ἡ ἐλευθερία καὶ ἐφελκύσαι, καὶ ἅμα διωθεῖν τὸ πρόθυμον τῆς πρὸς ἀλλήλους ἔριδος καὶ τῆς περὶ τὰ πρωτεῖα φιλοτιμίας. Ἔτι γε μὴν διὰ τὰ προκείμενα ἐν ταῖς πολιτείαις ἔπαθλα ἑκάστοτε τὰ ψυχικὰ προτερήματα τῶν ῥητόρων μελετώμενα ἀκονᾶται, καὶ οἷον ἐκτρίβεται, καὶ τοῖς πράγμασι κατὰ τὸ εἰκὸς ἐλεύθερα συνεκλάμπει. Οἱ δὲ νῦν ἐοίκαμεν, ἔφη, παιδομαθεῖς εἶναι δουλείας δικαίας, τοῖς αὐτῆς

cem magnorum *ingeniorum*, quâcum ſolâ ferè viri excellentes in ſcriptis et viguerint et mortui ſint? Libertas enim (dicit *aliquis*) apta eſt et ad nutriendas cogitationes magnanimorum ſpemque *illis* faciendam, et ſimul ad urgendum *eorum* ſtudium mutuæ contentionis æmulationiſque de principatu *eloquentiæ*. Prætereà quia propoſita ſunt in Rebuſpublicis certaminis præmiia, egregiæ animi dotes Rhetorum ſemper exercitatæ acuuntur et quaſi terendo excutiuntur, et cum rebus unà (uti par eſt) liberæ effulgent. Nos verò hodierni (dixit) videmur à pueritiâ imbuti eſſe juſtâ ſervitute; moribus ejus inſtitutiſque

ἔθεσι καὶ ἐπιτηδεύμασιν ἐξ ἁπαλῶν ἔτι φρο-
νημάτων μονονοὺκ ἐνεσπαργανωμένοι, καὶ
ἄγευστοι καλλίστου καὶ γονιμωτάτου λόγων νά-
ματος, τὴν ἐλευθερίαν, ἔφη, λέγω· διό-
περ οὐδὲν ὅτι μὴ κόλακες ἐκβαίνομεν με-
γαλοφυεῖς. Διὰ τοῦτο τὰς μὲν ἄλλας ἕξεις
καὶ εἰς οἰκέτας πίπτειν ἔφασκεν, δοῦλον δὲ
μηδένα γίνεσθαι ῥήτορα· εὐθὺς γὰρ ἀναζεῖ
τὸ ἀπαῤῥησίαστον, καὶ οἷον ἔμφρουρον, ὑπὸ
συνηθείας ἀεὶ κεκονδυλισμένον· "Ἥμισυ
"γάρ τ' ἀρετῆς, κατὰ τὸν Ὅμηρον, ἀποαίνυται
"——δούλιον ἦμαρ." Ὥσπερ οὖν (εἴ γε,
φησὶ, τοῦτο πιστόν ἐστι) ἀκούω τὰ γλωττό-

ex teneris jam cogitationibus tantùm non quaſi faſciis involuti, neque unquam deguſtantes fontem *illum* ſcriptorum pulcherrimum et naturalem maximè, (Libertatem, dixit, volo:) quare nihil evadimus, niſi adulatores magnifici: Addidit, alias propterea facultates etiam in famulos cadere, ſervum verò neminem fieri Rhetorem: ſtatim enim prorumpit illud quod illiberale eſt, quodque quaſi cuſtodiâ eum tenet ſemper a conſuetudine ſubactum: nam (ſecundum Homerum) "dimidium virtutis aufert dies ſervitutis." Quemadmodum igitur (ſi quidem, inquit, verum eſt *id*, *quod* audio) arculæ, in quibus Pyg-

κομα, ἐν οἷς οἱ Πυγμαῖοι καλούμενοι τρέφονται, οὐ μόνον κωλύειν, τῶν ἐγκεκλεισμένων τὰς αὐξήσεις, ἀλλὰ καὶ συνάγειν διὰ τὸν περικείμενον τοῖς σώμασι δεσμόν· οὕτως ἅπασαν δουλείαν, κἂν ᾖ δικαιοτάτη, ψυχῆς γλωττόκομον καὶ κοινὸν δή τις ἀποφήναιτο δεσμωτήριον.

Ἐγὼ μέντοι γε ὑπολαμβάνων, Ῥᾴδιον (ἔφην, ὦ βέλτιστε) καὶ ἴδιον ἀνθρώπου, τὸ καταμέμφεσθαι ἀεὶ τὰ παρόντα. Ὅρα δὲ μήποτε καὶ ἡ τῆς οἰκουμένης εἰρήνη διαφθείρει τὰς μεγάλας φύσεις· πολὺ δὲ μᾶλλον ὁ κατέχων ἡμῶν τὰς ἐπιθυμίας ἀπεριόριστος οὑτοσὶ πόλεμος, καὶ νὴ Δία πρὸς τούτοις

mæi, vocati nani, nutriuntur, non ſolùm impediunt incrementa eorum qui in illis includuntur, ſed etiam contrahunt eos circumpoſito corporibus vinculo; ita aliquis poſſit appellare omnem ſervitutem (licet ſit juſtiſſima) arculam animi et publicum carcerem.

Ego quidem *illum ſic* excipio, Facilè eſt (dixit *aliquis*, vir optime) et familiare homini, conqueri ſemper de rebus præſentibus; vide autem ne ſit univerſi orbis pax, quæ corrumpat magna ingenia; multò verò magis hoc perpetuum bellum quod noſtras cupiditates obſeſſas tenet, et præterea herculè hi af-

τὰ φρουροῦντα τὸν νῦν βίον, καὶ κατ' ἄκρας ἄγοντα καὶ φέροντα ταυτὶ πάθη· ἡ γὰρ φιλοχρηματία, πρὸς ἣν ἅπαντες ἀπλήστως ἤδη νοσοῦμεν, καὶ ἡ φιληδονία δουλαγωγοῦσι, μᾶλλον δὲ (ὡς ἂν εἴποι τις) καταβυθίζουσιν αὐτάνδρους ἤδη τοὺς βίους· φιλαργυρία μὲν νόσημα μικροποιόν, φιληδονία δ' ἀγεννέστατον. Οὐ δὴ ἔχω λογιζόμενος εὑρεῖν, ὡς οἷόν τε πλοῦτον ἀόριστον ἐκτιμήσαντας, τὸ δ' ἀληθέστερον εἰπεῖν, ἐκθειάσαντας, τὰ συμφυῆ τούτῳ κακὰ εἰς τὰς ψυχὰς ἡμῶν ἐπεισιόντα μὴ παραδέχεσθαι· ἀκολουθεῖ γὰρ τῷ ἀμέτρῳ πλούτῳ καὶ ἀκολάστῳ συνημμένη καὶ

fectus, qui præſens ſæculum præſidio tenent, et ex arce rapiunt feruntque: amor enim nummorum (quo omnes jam inſatiabiliter laboramus) amorque voluptatis in ſervitutem rapiunt, ſeu potiùs, (ut ita dicat aliquis) demergunt jam ſæcula unà cum ipſis hominibus: amor quidem argenti morbus eſt minutos *nos* efficiens, amorque voluptatis *morbus* viles efficiens. Nequeo ſanè cogitando invenire, quo modo fieri poſſit, ut nos, qui immenſas divitias magni æſtimamus, et (ut veriùs dicam) numinis inſtar colimus, non recipiamus in animos noſtros invadentia illa mala, quæ cum illis *divitiis* unà naſcuntur; ſequitur enim opes immenſas et nimias conjunctus et æ-

ἴσα (φασὶ)· βαίνουσα πολυτέλεια, ἀνοιγόντος ἐκείνου τῶν πόλεων καὶ οἴκων τὰς εἰσόδους, εἰς ἃς ἐμβαίνει, καὶ συνοικίζεται· χρονίσαντα δὲ ταῦτα ἐν τοῖς βίοις, νεοττοποιεῖται (κατὰ τοὺς σοφοὺς) καὶ ταχέως γενόμενα περὶ τεκνοποιΐαν ἀλαζονείαν τε γεννῶσι καὶ τῦφον καὶ τρυφὴν, οὐ νόθα ἑαυτῶν γεννήματα, ἀλλὰ καὶ πάνυ γνήσια. Ἐὰν δὲ καὶ τούτους τις τοῦ πλούτου τοὺς ἐκγόνους εἰς ἡλικίαν ἐλθεῖν ἐάσῃ, ταχέως δεσπότας ταῖς ψυχαῖς ἐντίκτουσιν ἀπαραιτήτους, ὕβριν καὶ παρανομίαν καὶ ἀναισχυντίαν. Ταῦτα γὰρ οὕτως ἀνάγκη γίνεσθαι, καὶ μηκέτι τοὺς ἀνθρώπους ἀναβλέπειν, μηδὲ

quis (ut aiunt) paſſibus incedens magnus ſumptus, ſimulque *opibus* illis aditus urbium et privatarum ædium recludentibus, in quos intrat, *ſumptus*, etiam unà *cum opibus ibi* habitat: et, cum hæc in ſæculis per aliquod ſpatium temporis duraverint, nidificant (ſecundum ſapientes) et citò ad prolem faciendam converſa generant et Faſtum et Luxuriam, fœtus ſuos non ſpurios, ſed valdè legitimos: Sin quis verò hos divitiarum filios permittat ad adoleſcentiam pervenire, ſtatim procreant in animis dominos inexorabiles, Contumeliam et Injuſtitiam et Impudentiam: Neceſſe eſt enim hæc ſic fieri, hominesque non am-

πέρα φήμης εἶναί τινα λόγον· ἀλλὰ τοιούτων ἐν κύκλῳ τελεσιουργεῖσθαι κατ' ὀλίγον τῶν βίων τὴν διαφθοράν, φθίνειν δὲ καὶ καταμαραίνεσθαι τὰ ψυχικὰ μεγέθη, καὶ ἄζηλα γίνεσθαι, ἡνίκα τὰ θνητὰ ἑαυτῶν μέρη καὶ ἀνόητα ἐκθαυμάζοιεν, παρέντες αὔξειν τ' ἀθάνατα. Οὐ γὰρ ἐπὶ κρίσει μέν τις δεκασθεὶς, οὐκ ἂν ἔτι τῶν δικαίων καὶ καλῶν ἐλεύθερος καὶ ὑγιὴς ἂν κριτὴς γένοιτο· ἀνάγκη γὰρ τῷ δωροδόκῳ τὰ οἰκεῖα μὲν φαίνεσθαι καλὰ καὶ δίκαια. Ὅπου δὲ ἡμῶν ἑκάστου τοὺς ὅλους ἤδη βίους δεκασμοὶ βραβεύουσι, καὶ ἀλλοτρίων θῆραι θανάτων, καὶ

pliùs ſurſum oculos erigere, nec ulteriùs *iis* ullam eſſe famæ rationem; ſed abſolutè compleri paulatim talium ſæculorum corruptionem, et contabeſcere et emarceſcere animi Sublimitates, neglectaſque eſſe, cum admirentur mortales ſuas et inutiles partes, omittentes incrementum facere *partibus* immortalibus. Neque enim in judicio quis pretio corruptus, poteſt eſſe liber integerque de rebus æquis et pulchris judex; neceſſe eſt enim ut ſuæ res videantur pulchræ juſtæque ei, qui dona accipit: Et *ſimiliter*, ubi munera, et venationes alienarum mortium, et in-

ἐνέδραι διαθηκῶν, τὸ δ' ἐκ τοῦ παντὸς κερδαίνειν ὠνούμεθα τῆς ψυχῆς, ἕκαστος πρὸς τῆς ἑαυτοῦ ἡδονῆς ἠνδραποδισμένοι, ἆρα δὴ ἐν τῇ τοσαύτῃ λοιμικῇ τοῦ βίου διαφθορᾷ δοκοῦμεν ἔτι ἐλεύθερόν τινα κριτὴν τῶν μεγάλων, ἢ διηκόντων πρὸς τὸν αἰῶνα, κἀδέκαστον ἀπολελεῖφθαι, καὶ μὴ καταρχαιρεσιάζεσθαι πρὸς τῆς τοῦ πλεονεκτεῖν ἐπιθυμίας; Ἀλλὰ μήποτε τοῖς τοιούτοις, οἷοί περ ἐσμὲν ἡμεῖς, ἄμεινον ἄρχεσθαι ἢ ἐλευθέρους εἶναι· ἐπείτοι γε ἀφεθεῖσαι τὸ σύνολον, ὡς ἐξ εἱρκτῆς ἄφετοι, κατὰ τῶν πλησίον αἱ πλεονεξίαι κἂν ἐπικλύσειαν τοῖς κακοῖς τὴν οἰκουμένην. Ὅλως

ſidiæ teſtamentis *facta* totas vitas noſtras jam moderantur; *ubi* etiam lucrum ex re quâlibet *nobis* comparamus vitæ *periculo*, in ſervitutem redacti unuſquiſque à *cupiditate nummorum*, num in tam peſtilenti ſæculi corruptione putamus reliquum eſſe quenquam liberum et incorruptum judicem *ſcriptorum* Sublimium vel ad æternitatem perventurorum, et non corruptum eſſe à cupiditate diteſcendi? Sed vide annon ſit melius tales, quales nos ſumus, regi quàm liberos eſſe: quoniam cupiditates *noſtræ*, velut ex caveâ emiſſæ *beſtiæ*, in proximos omninò emiſſæ etiam incenderent malis totum orbem. In ſummâ verò

καὶ δαπανὸν ἔφην εἶναι τῶν νῦν γεννωμένων φύσεων τὴν ῥᾳθυμίαν, ᾗ, πλὴν ὀλίγων, πάντες ἐγκαταβιοῦμεν, οὐκ ἄλλως πονοῦντες ἢ ἀναλαμβάνοντες, εἰ μὴ ἐπαίνου καὶ ἡδονῆς ἕνεκα, ἀλλὰ μὴ τῆς ζήλου καὶ τιμῆς ἀξίας ποτὲ ὠφελείας.

Κράτιστον δ' εἴη καὶ ταῦτ' ἐᾶν, ἐπὶ δὲ τὰ συνεχῆ χωρεῖν· ἦν δὲ ταῦτα τὰ Πάθη, περὶ ὧν ἐν ἰδίῳ προηγουμένως ὑπεσχόμεθα γράψειν ὑπομνήματι, ὡς τήν τε τοῦ ἄλλου λόγου καὶ αὐτοῦ τοῦ ὕψους μοῖραν ἐπεχόντων, ὡς ἡμῖν δοκεῖ.

dixi deſidiam eſſe conſumptricem ingeniorum nunc temporis natorum, in quâ nos omnes (exceptis paucis) vitam tranſigimus, non aliam ob rem laborantes vel ſuſcipientes *opus* quàm ob gloriolam et voluptatem, non autem ob id commodum, quod dignum eſt æmulatione et honore.

Sed præſtiterit hæc omittere et ad ea pergegere, quæ ſequuntur: hæc verò erant Affectus, de quibus ex profeſſo promiſi me in peculiari Commentario dicturum, et qui, ut mihi videtur, tum alius generis orationis, tum ipſius Sublimitatis partem [*non nimiam*] conſtituunt.

DIONYSII LONGINI

FRAGMENTA.

DIONYSII LONGINI

FRAGMENTA.

I. E Cod. MSto Vat.

Κορωνὶς δ' ἔστω λόγου παντὸς καὶ φρονήματος Ἑλληνικοῦ Δημοσθένης, Λυσίας, Αἰσχίνης, Ἀριστείδης, Ἰσαῖος, Τίμαρχος, Ἰσοκράτης, Δημοσθένης ὁ Κρίθινος, Ξενοφῶν, πρὸς τούτοις Παῦλος ὁ Ταρσεὺς, ὅν τινα καὶ πρῶτόν φημι προϊστάμενον δόγματος ἀναποδείκτου.

I. E Cod. MSto Vat.

Finiat autem omnem *noſtrum* ſermonem et Græcum Sublime *dicendi* genus Demoſthenes, Lyſias, Æſchines, Ariſtides, Iſæus, Timarchus, Iſocrates, Demoſthenes, qui et Crithinus *fuit*, Xenophon, præterea Paulus Tarſenſis, quem et primum dico præfuiſſe opinioni argumentis non probatæ.

II. E Cod. MS. Par.

Προῆλθε δὲ τὸ μέτρον ἐκ Θεοῦ, μέτρῳ τά τε οὐράνια καὶ ἐπίγεια κεκοσμηκότος· ἁρμονία γάρ τις ἔστι καὶ τοῖς ἐπουρανίοις καὶ ἐπιγείοις. Ἢ πῶς δὴ ἄλλως συνέστη τόδε τὸ πᾶν, εἰ μὴ ῥυθμῷ τινι καὶ τάξει διεκεκόσμητο; καὶ τὰ ὑφ᾽ ἡμῶν δὲ κατασκευαζόμενα ὄργανα μέτρῳ πάντα γίνονται. Εἰ δὲ πάντα, πολλῷ γε μᾶλλον ὁ λόγος, ἅτε δὴ περιεκτικὸς ἁπάντων ὤν· ἔστι μὲν γὰρ καὶ τῷ πεζῷ ἁρμονία τις· καὶ δῆλον ἐξ ὧν τοῦ μὲν

II. E Cod. MS. Par.

Metrum à Deo primùm venit, qui et cœleſtia et terreſtria concinnè et quaſi modulatè diſpoſuit: rebus enim cum cœleſtibus tum terreſtribus ineſt quædam harmonia. Ecquomodo autem univerſum hoc, niſi certo ordine et rythmo quodam digeſtum fuiſſet, aliter unquam conſtitiſſet? imò organa ipſa *ea inſtrumenta*, quæ manu hominum fiunt, modulo omnia *ſeu menſurâ* conſtant. Si verò omnia, multò magis oratio, utpote quæ omnia in ſe complectitur; etenim pedeſtri ſermoni ſua eſt harmonia: idque ex eo liquet, quod hominis unius quidem ſermo nu-

ὁ λόγος ἐστὶν εὐρυθμότερος, τοῦ δὲ οὔ. Μᾶλλον δὲ πρόσεστι τῷ ποιητικῷ, πάθεσι πλείστοις χρωμένῳ καὶ λέξεσι, καὶ δὴ καὶ μύθοις καὶ πλάσμασι, δι' ὧν ἁρμονία κατασκευάζεται. Ταῦτ' ἄρα καὶ οἱ παλαιοὶ ἐμμέτρους μᾶλλον τοὺς οἰκείους ἐποίουν λόγους, ἢ πεζούς· καὶ μὴν τῷ μέτρῳ πρόσεστιν ἁρμονία, ἡ δὲ ἁρμονία μουσικὴ τυγχάνει· τῆς μουσικῆς δὲ ὅσον κλέος ἐστὶν, οὐδεὶς ἀγνοεῖ· ὥστε καὶ τὸ μέτρον ἐν τῶν ἀρίστων, ὑπὸ τῆς μουσικῆς ὄν, ἧς τὸ κλέος (ὡς Ὅμηρος ἔφη)

—— Οἷον ἀκούομεν, οὔτέ τι ἴδμεν.

meroſior eſt, alterius verò non item. Sed harmonia ſanè magis competit Poëticæ orationi, quæ plurimis et affectibus utitur et dictionibus, et fabulis quoque et figmentis, per quæ efficitur harmonia. Idcirco antiqui ſuos libros ſtrictâ potiùs quàm ſolutâ oratione condebant: Metro certè inſita ineſt harmonia, harmonia verò muſica eſt; muſicæ autem quanta ſit gloria, nemo ignorat: quamobrem et Metrum res eſt eximia, quippe quod muſicæ ſubeſt; cujus nos, ut Homerus loquitur,

—— *Solam famam audivimus, neque quicquam ſcimus.*

III. E Cod. MS. Par.

Τὰ ΠΡΟΛΕΓΟΜΕΝΑ εἰς τὸ τοῦ Ἡφαιστίωνος Ἐγχειρίδιον.

α΄. Ἀλλ᾽ εἴτε νέα τῶν μέτρων ἡ θεωρία, εἴτε Μούσης εὕρημα παλαιᾶς, ἑκάτερον ἕξει καλῶς· ἀρχαία μὲν οὖσα ἐκ τῆς παλαιότητος ἕξει τὴν σεμνότητα, νέα δὲ οὖσα ποθεινοτέρα καθ᾽ Ὅμηρον,

Τὴν γὰρ ἀοιδὴν πάντες ἐπικλείουσ᾽ ἄνθρωποι,
Ἥ τις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

Μέτρου δὲ πατὴρ ῥυθμὸς καὶ θεός· ἀπὸ

III. E Cod. MS. Par.

PROLEGOMENA in *Hephæſtionis* Enchiridion.

1. At ſeu nova res ſit Metrorum obſervatio, ſeu veteris Muſæ inventum, pulchrè utrumque ſe habebit: nam ſi ſit vetus, vetuſtate ipſâ venerabilis, ſi recens, amabilior futura eſt, idque Homero judice,

Quippe illam reſonant omnes laudantque Camœnam,
Quæ, novitate placens, inſuetas fertur ad aures.

Porrò Metri pater eſt non ſolùm Rhythmus,

ῥυθμοῦ γὰρ ἔσχε τὴν ἀρχήν, θεὸς δὲ τὸ μέτρον ἀπεφθέγξατο.

β′. Τοῦ δὲ περὶ μέτρων λόγου πολλοὶ πολλαχῶς ἤρξαντο· οἱ μὲν ἀπὸ στοιχείων, ὡς Φιλόξενος, οἱ δὲ ἀπὸ τοῦ μέτρων ὅρου, ὡς Ἡλιόδωρος· ἡμεῖς δὲ Ἡφαιστίωνι κατακολουθήσομεν ἀπὸ συλλαβῆς ἀρξάμενοι· πρῶτον δὲ ὀλίγα προειπεῖν δίκαιον.

γ′. Τεκμήριον μέτρου ἀκοή· ἔνιοι γοῦν οὕτως ὡρίσαντο· μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις, αἰσθήσει τῇ δι᾽ ἀκοῆς παραλαμβανομένη· εἰ δὲ τὸ κρίνον ἐστὶν ἀκοή, τὸ κοσμοῦν ἐστὶ φωνή· ὡς γὰρ τὸν ἦχον τοῦ εὐρυθ-

ſed et Deus: nam ex Rhythmo ortum habuit, Deus verò ſonum ipſum Metri protulit.

2. Rei metricæ tractationem multi multifariam orſi ſunt: alii ab literis, ut Philoxenus; alii à definitione Metri, ut Heliodorus: nós verò auctorem ſecuti Hephæſtionem à ſyllabâ ordiemur: ſed pauca primùm præfanda ſunt.

3. Senſus audiendi eſt id, quo de Metro judicamus: unde ſic quidam definiunt: *Metrum eſt pedum apta compoſitio, quæ ſenſu audiendi percipitur:* quòd ſi auris judicat, vox ſanè eſt quæ ornat: quippe ut vox, ſonum modulatum producendo

μίας ἐκτείνουσά τε καὶ συστέλλουσα φωνὴ σχηματίζει τὰς συλλαβάς, οὕτως εἰσδεξαμένη κρίνει ἡ ἀκοή.

δ΄. Διὰ τοῦτο πολλὰ τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι σιωπώμενα ἐν τῇ κατὰ πεζὸν ῥήσει· καὶ αὖ πάλιν πολλὰς πτώσεις ἔχει πρὸς ἄλλα μέτρα. Εὕροι γοῦν ἄν τις παρὰ Δημοσθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἠδυνήθη λαθεῖν διὰ τὸ πεζὴν οὖσαν τὴν προσφορὰν συναρπάσαι τῷ λόγῳ τὴν ἀκοήν· φησὶ γοῦν,

Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι᾽ ὃν εἰς Ἐλάτειαν
Ἦλθε Φίλιππος,

vel contrahendo, ſyllabas quaſi figurat; ita auditus *eas aure* excipiens judicat.

4. Hinc fit ut Metra complura velut tacita lateant in pedeſtri oratione, et viciſſim in alia Metra multis modis incidant. Itaque et apud Demoſthenem oratorem invenire eſt occultum verſum Heroïcum; qui ideò latere potuit, quia pronuntiatio, ad ſolutam orationem accommodata, auditum ſimul et verba abripuit. Ait quippe, Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι᾽ ὃν εἰς Ἐλάτειαν &c. ver-

στίχος ἐστὶν ἡρῷος· ἀλλὰ μὲν καὶ Ἰωνικὸν, ὅταν λέγῃ,

Πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου
παρ' ὑμῖν.

τοῦτο γὰρ ἄντικρυς Ἰωνικόν ἐστιν ἀπὸ μείζονος, ὅμοιον τῷ,

Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπαλᾶς
Γυρίννω.

τὰς δὲ τῶν μέτρων συνεμπτώσεις ἐν τοῖς ἑξῆς ἐπιδείξομεν.

ε'. Διαφέρει δὲ μέτρον ῥυθμοῦ, ὕλη μὲν γὰρ τοῖς μέτροις ἡ συλλαβὴ, καὶ χωρὶς συλλαβῆς οὐκ ἂν γένοιτο μέτρον· ὁ δὲ ῥυθμὸς γίνεται μὲν καὶ ἐν συλλαβαῖς, γίνεται δὲ καὶ χωρὶς συλλαβῆς, καὶ γὰρ ἐν κρότῳ. Ὅταν μὲν

ſus eſt Heroïcus: ſed et Ionium *reperias*, cum ait, Πολλῶν δὲ λέγων καὶ θορύβου γιγνομένης παρ' ὑμῖν: nam in his manifeſtum ſe prodit Ionicus à majori, ſimilis huic, Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπαλᾶς Γυρίννω. Metrorum verò in ſe invicem incidentium exempla poſthac afferemus.

5. Metrum et Rythmus hoc differunt, quòd Metra ſyllabis tanquam materiâ conſtent, et abſque ſyllabâ non poſſit fieri Metrum: Rhythmus verò et in ſyllabis et citra ſyllabas fit; nempe in eo ſono qui pulſatione efficitur. Etenim cum ab æraríis fabris

γὰρ τῶν χαλκέας ἴδωμεν τὰς σφύρας καταφέροντας, ἅμα τινὰ καὶ ῥυθμὸν ἀκούομεν· καὶ ἵππων δὲ πορεία ῥυθμὸς ὀνομάσθη, καὶ κίνησις δακτύλων, καὶ μελῶν σχήματα, καὶ χορδῶν κινήματα, καὶ τῶν ὀρνίθων τὰ πτερυγίσματα· μέτρον δὲ οὐκ ἂν γένοιτο χωρὶς λέξεως ποιᾶς καὶ ποσῆς.

Ἔτι τοίνυν διαφέρει ῥυθμοῦ τὸ μέτρον, ᾗ τὸ μὲν μέτρον πεπηγότας ἔχει τοὺς χρόνους, μακρόν τε καὶ βραχὺν, καὶ τὸν μεταξὺ τούτων, τὸν κοινὸν καλούμενον, ὃς καὶ αὐτὸς πάντως μακρός ἐστι καὶ βραχύς, ὁ δὲ ῥυθμὸς ὡς βούλεται ἕλκει τοὺς χρόνους· πολλάκις γοῦν καὶ

malleos deorſum incuti videmus, ſimul etiam Rhythmum quendam audimus: item equorum inceſſus pro Rhythmo habitus eſt, necnon micatio digitorum, et apta membrorum conformatio, et chordarum motus, et avium volitantium plauſus: at ſine dictione, quæ et talis ſit et tanta, Metrum conſiſtere non poteſt.

Præterea Metrum à Rhythmo differt, eo quòd Metrum tempora habeat fixa ac definita, longum ſcilicet et breve, et horum medium, quod commune appellant; quòd ipſum quoque omnino et longum et breve eſt: Rhythmus autem tempora ad libitum producat, ſic ut breve tempus

τὸν βραχὺν χρόνον ποιεῖ μακρόν. Ὅτι δὲ τοῦτο οὕτως ἔχει, καὶ τὴν διαφορὰν ἴσασιν οἱ ποιηταί. Λάβωμεν παραδείγματα παιζούσης κωμῳδίας ἐν σπουδαζούσῃ φιλοσοφίᾳ· ὁ γοῦν Ἀριστοφάνης ἐν ταῖς Νεφέλαις· φησὶ Σωκράτης, εἰ καὶ τωθάζει Ἀριστοφάνης, "πότερον περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ περὶ ῥυθμῶν;" ἀντιδιέστειλε γὰρ ἐκεῖνος ἀπὸ ῥυθμῶν τὰ μέτρα· εἰς ἑκάτερον γοῦν τὸ παράδειγμα σημειωτέον, ὅτι τε ῥυθμὸς μέτρου διαφέρει, καὶ ὅτι ἴσασιν ἐν διδασκαλίᾳ οἱ παλαιοὶ τὴν τῶν μέτρων θεωρίαν.

ϛʹ. Τὸ δὲ μέτρον λέγεται πολλαχῶς· καὶ γὰρ τὴν εὐμετρίαν μέτρον προσαγορεύομεν, ὡς

longum ſæpè efficiat. Rem ita ſe habere, et illa a ſe invicem differre, Poëtæ ſciunt. Capiamus exempla ex Comœdiâ in gravem Philoſophiam jocante: nempe Socrates ait (licet *eum* irrideat Ariſtophanes) *utrum de Metris, an de Epico verſu, an de Rhythmis?* Diſtinxit ille Metra ab Rhythmis: itaque in exemplo allato duo hæc obſervanda; Rhythmum à Metro differre, et veteres Metrorum rationem præceptis comprehenſam didiciſſe.

6. Metrum de multis rebus dicitur. Nam et modum ſeu mediocritatem, Metrum vocamus; ut ille qui dixit,

ὁ εἰπών, ΜΕΤΡΟΝ ἌΡΙΣΤΟΝ· εἴτε σοφὸν ἀπόφθεγμα, εἴτε θεῖον ἀνάθημα, Ἀπόλλωνι μὲν γὰρ ἁρμοδιώτατον, ἐπεὶ καὶ μέτρων εὑρετής. Λέγεται δὲ μέτρον καὶ αὐτὸ τὸ μετρεῖν, καὶ τὸ μετρούμενον· ὡς ὅταν εἴπωμεν τὸν μέδιμνον μέτρον, καὶ τὸ ἐν αὐτῷ μετρηθὲν μέτρον, ἀμφότερα δὲ καλεῖται μέδιμνος· καὶ αὖ πάλιν εἰ εἴποιμι χόα τὸ σκεῦος, ἐν ᾧ μετρῶ ποσότητά τινα· καὶ αὖ πάλιν αὐτὴν τὴν ποσότητα χόα προσαγορεύομεν· [καὶ αὖ πάλιν αὐτὸ τὸ ξύλον, ὃ μόνον ἔχει πῆχυν, πῆχυν προσαγορεύομεν.]

ζ΄. Οὕτω μὲν οὖν καὶ ἐπὶ ταύτης

ΜΕΤΡΟΝ ἌΡΙΣΤΟΝ, *modus optimus :* ſive hoc ſit ſapientis pronuntiatum, ſeu donum *hominibus* à Deo datum; nam Apolline quidem digniſſimum *eſt*, modorum inventore. Deinde appellatur Metrum et id ipſum quod metitur, et id quod menſum eſt: ut cum medimnum, et id quod medimnus capit, Metrum vocamus, ſanè utraque ea res medimnus dici ſolet : item ſi poſſum vas, in quo aliquam quantitatem metior, appellare χόα *congium*, etiam è contrario ipſam quantitatem *in eo contentam* appellamus χόα : [itidem ipſum lignum, quòd longitudinem habet unius cubitû, appellamus cubitum.]

7. Pariter et in præ-

τῆς θεωρίας πολλαχόθεν λέγεται μέτρον· μέτρον τε γὰρ καλοῦμεν πᾶν τὸ μὴ πεζόν· ὅταν εἴπω τὰ μὲν Πλάτωνος πεζὰ, τὰ δὲ Ὁμήρου μέτρα. Μέτρον καλεῖται καὶ εἶδος ἑκάστου· ὡς ὅταν εἴπω, μέτρον Ἰωνικὸν, καὶ μέτρον Ἰαμβικὸν, καὶ μέτρον Τροχαϊκόν. Μέτρον καλεῖται καὶ στίχος ἕκαστος· ὡς ὅταν εἴπω, ἡ πρώτη Ὁμήρου ῥαψῳδία μέτρα ἔχει χ· τοῦτο γὰρ Ὀδυσσεὺς ὁ μετρικὸς ἐσημειώσατο. Ἔτι τοίνυν μέτρον καλοῦμεν τὴν συζυγίαν, τουτέστι τὴν διποδίαν, ὅταν τὸ Ἰαμβικὸν, τὸ ἀπὸ ἐξ ποδῶν συγκείμενον, τρίμετρον καλῶμεν. Μέτρον καλοῦμεν καὶ

ſenti inſtituto Metri nomen ad multa pertinet: nam et Metrum dicimus quidquid proſa non eſt: ut cum ea quæ ſcripſit Plato, proſam, quæ Homerus, Metra nomino. Metrum etiam dicitur quæque Metri ſpecies; ut cum dico, Metrum Ionicum, Metrum Iambicum, Metrum Trochaicum. Item verſus ſinguli appellantur Metrum: ut cum dico, prima Homeri Rhapſodia Metris conſtat ſexcentis, id quòd Ulyſſes Metricus obſervavit. Jam verò et pedum duorum conjugationem Metrum vocamus, ut cum Trimetrum appellamus Iambicum illum, qui conſtat ſenis pedibus. Ipſum tempus etiam Me-

τὸν χρόνον, ὃν τινες τῶν ῥυθμικῶν σημεῖον προσαγορεύουσιν· ὅτι δὲ τοῦτο οὕτως ἔχει, παράδειγμα τεθήσεται, ὅ τινες μὲν Ὀρφέως, τινες δὲ τῆς Πυθίας παραλαμβάνουσι· περὶ γὰρ τῶν ἐπῶν λέγων, ἢ λέγουσα,

Ὄρθιον, ἑξαμερές, τετόρων καὶ εἴκοσι
μέτρων·

καὶ ταῦτα οὕτως ἔχει, ὥσπερ εἴρηκα· μέτρον δὲ καὶ τὸ μετροῦν καὶ τὸ μετρούμενον. οὕτως καὶ ἐπὶ τῶν προειρημένων αὐτὸ τὸ μέτρον, τουτέστι τὸ ποίημα, μέτρον προσαγορεύεται, [καὶ ἕκαστον τῶν μετρούντων τῆς ὁμοίας τετύχηκεν ὀνομασίας· χρόνος γὰρ συλλαβὴν

trum vocamus; quod quidam Rhythmici ſcriptores σημεῖον *notam* appellant. Id ita eſſe exemplo confirmabimus, quod alii Orpheo, alii Pythiæ acceptum referunt: etenim cum hæc, vel ille, de Epico verſu ſic loquitur,

Tramite eunt recto Metra bis duodena, pedes ſex.

Et hæc ita ſe habent ut dixi: “Metrum verò eſt “et quod metitur et id “quod menſum eſt;” ita enim in modò dictis id ipſum quod menſum eſt (id eſt Poëma) Metrum vocatur, et ſingulæ partes metientes eandem appellationem ſortitæ ſunt: tempus enim ſyllabam,

ποιεῖ, συλλαβὴ δὲ πόδα, ποὺς δὲ συζυγίαν, συζυγία δὲ στίχον, στίχος δὲ ποίημα· πάντα οὖν εἰκότως μέτρα προσαγορεύεται.]

η′. Γέγονε δὲ ἀπὸ τοῦ μείρω ῥήματος, ὅ ἐστι μερίζω· ἀφ᾽ οὗ παρὰ τῷ ποιητῇ,

Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ μείρεο
τιμῆς·

ὡς δὲ παρὰ τὸ σείω σεῖστρον γίνεται, καὶ παρὰ τὸ δέρω δέρτρον, καὶ παρὰ τὸ φέρω φέρτρον, οὕτω καὶ παρὰ τὸ μείρω μέτρον· ὄνομα γοῦν ἐστὶ, καὶ ἐκ τῆς ἐτυμολογίας, τοῦ μερισμοῦ.

θ′. Περὶ δὲ ὅρων μέτρου νῦν εἰπεῖν οὐκ ἀναγκαῖον· αὐτὸς γὰρ ὁ Ἡφαιστίων αἰτιᾶται

pedem ſyllaba, pes metricam conjugationem, hæc verſum, hic Poëma, efficit; ut meritò ſingula appellentur Metra.

8. Factum eſt Metri nomen ex verbo μείρω, quod eſt *divido*: unde illud Poëtæ,

Ἶσον ἐμοὶ βασίλευε, καὶ ἥμισυ
μείρεο τιμῆς.

Jure pari imperitas, mecumque hunc divide honorem.

atque ut ex σείω fit σεῖστρον, ex δέρω δέρτρον, ex φέρω φέρτρον, ita ex μείρω μέτρον; eſt igitur, ſi etymologiam ſpectemus, nomen partitionis.

9. De definitionibus Metri nunc agere haud neceſſe eſt. Ipſe enim Hephæſtion reprehendit

τὸν Ἡλιόδωρον ἐπὶ τοῖς εἰσαγομένοις γράφειν· τοὺς γὰρ ἀπείρους, καὶ τοὺς μήπω τῆς μετρικῆς γεγευμένους, ἀδύνατον νοεῖν τὸν ὅρον.

ι΄. Ἐπιγέγραπται δὲ ΕΓΧΕΙΡΙΔΙΟΝ, οὐχ' ὥς τινες οἴονται, διὰ τὸ ξίφος, ἀλλὰ διὰ τὸ ὀξύνειν τὴν μελέτην τὰς ψυχὰς, ἢ διὰ τὸ ἐν χερσὶν ἔχειν τοὺς βουλομένους τὰ κεφάλαια τῶν μετρικῶν παραγγελμάτων· ὅτι δὲ ταῦτα οὕτως ἔχει, Ἡλιόδωρος τοῦ Ἐγχειριδίου ἀρχόμενος οὕτω λέγει, "τοῖς βουλομένοις ἐν χερσὶν ἔχειν τὰ κεφαλαιωδέστερα τῆς μετρικῆς γέγραπται τὸ βιβλίον τοῦτο."

ια΄. Ἤρξατο δὲ αὐτοῦ ὁ Ἡφαιστίων, ὡς

Heliodorum, qui apud novitios de eâ ré agat; cum ii, qui rudes ſunt et rem metricam nondum attigerunt, non poſſint Metri definitionem intelligere.

10. Liber inſcribitur ἘΓΧΕΙΡΙΔΙΟΝ *pugillare*, non (ut quidam opinati ſunt) ex Gladio, ſed ex eo quòd acuat animos eorum, qui in ipſum incidunt, quia poſſint habere illi, qui velint, ἐν χερσὶν *in manibus* præceptionum metricarum ſingula capita. Id ita eſſe hinc conſtat, quod Heliodorus initio Enchiridii ait: *Hic liber in uſum eorum ſcriptus eſt, qui rei metricæ præcipua capita habere in manibus velint.*

11. Hephæſtion, ut jam diximus, ab ſyllabâ

ἔφην, ἀπὸ συλλαβῆς, ὕλη γὰρ τοῖς μέτροις ἡ συλλαβὴ, καὶ ἄνευ ταύτης οὐκ ἂν συσταίη τὸ μέτρον· τὸ ποιοῦν πρὸ τοῦ ποιηθέντος, ὅθεν ἄρξασθαι δίκαιον. Οὐκ ἀπὸ τοῦ γένους δὲ ἤρξατο, ἀλλ' ἀπὸ τοῦ εἴδους· διαφέρει δὲ εἶδος καὶ γένος, ᾗ γένος μέν ἐστι τὸ πρωτότυπον εἰς εἴδη διαιρεθῆναι δυνάμενον, εἶδος δὲ τὸ ἀπὸ τοῦ γένους διῃρημένον· οἷον εἴ τις λέγοι ζῶον γένος, εἴδη δὲ αὐτοῦ, ἄνθρωπον, ἵππον, καὶ τὰ λοιπά. Οὐκοῦν γένος μέν ἐστιν ἡ συλλαβὴ, εἴδη δὲ αὐτῆς βραχεῖα, καὶ μακρὰ, καὶ κοινὴ καλουμένη· οὐκ ἔδοξεν οὖν αὐτῷ ἀπὸ τοῦ γένος ποιήσασθαι τὴν ἀρχήν·

illud incipit, eo quòd Metri materia ſit ſyllaba, ſine quâ nec Metrum poteſt conſiſtere : id autem quod efficit, prius eſt eo quod efficitur, adeóque illinc incipiendum. Cæterum non ab genere incipit, ſed à ſpecie : differunt verò genus et ſpecies, quatenus genus quidem eſt res primaria, quæ in ſpecies dividi poteſt ; ſpecies autem eſt id in quod genus dividitur : ſic animal eſt genus, cujus ſpecies ſunt homo, equus, et reliqua. Eâdem ratione et ſyllaba genus eſt : ſpecies verò ejus ſunt brevis, longa, et ea quæ communis dicitur. Itaque huic Scriptori initium ab genere

τεχνικὸς γὰρ οὗτος ὁ λόγος, καὶ οὐ πάνυ τοῖς μετροῖς συμβάλλεται, οὔτε ὅρῳ τὴν συλλαβὴν περιλαβεῖν, οὔτε τὸν περὶ αὐτῆς εἰπεῖν λόγον τῆς ἐτυμολογίας· καίτοι ἐν τοῖς τεχνικοῖς ἔλεγχον ἔχειν ὁ ὅρος.

ιβ. Ἔστιν ἡ συλλαβὴ . . . . .

facere haud viſum eſt, quòd ea quæſtio eſſet merè technica; nec aut ſyllabam definiri, aut ejus etymologiam afferri, ad Metra ipſa quicquam conferret. Tamen ille eo nomine à technicis reprehenſus eſt.

12. Definitio . . . . .

Syllaba eſt * * * * * *

ιγ΄. Ἔτι ἡ συλλαβὴ παρὰ τοῦτο ὠνόμασται, παρὰ τὸ ποσότητα στοιχείων εἰς ταυτὸν συλλαμβάνειν, ὧν ἔξεστιν ὑφ᾽ ἕνα φθόγγον περιλαβεῖν, ἂν μὴ εἴποι τις τὰς μονογραμμάτους· ἀλλὰ ταῦτα μὲν ζητείτωσαν οἱ τεχνικοί.

ιδ΄. Ἐν δὲ τοῖς μετρικοῖς εἰδέναι δεῖ, ὅτι πᾶσα βραχεῖα ἴση, καὶ πᾶσα μακρὰ ἴση· καθόλου γὰρ αἱ μὲν εἰσι δίχρονοι, αἱ δὲ μονόχρονοι· ἐντεῦθεν τὸν μὲν Δάκτυλον καλοῦμεν τετράχρονον, τὸν δὲ Πυῤῥίχιον δίχρονον, οὐ πολυπραγμονοῦντες τῆς ποιητικῆς λέξεως ἢ συλλαβῆς τὰ στοιχεῖα, οὐδὲ ἐν ποσότητι

13. Præterea ſyllaba hinc nomen habuit, quòd literas plures in ſe una comprehendat, quæ ſub unico ſono percipi poſſint: niſi quis loquatur de iis ſyllabis, quæ literâ unâ conſtant; ſed hæc quidem technicis diſquirenda relinquamus.

12. In re metricâ illud tenendum, omnes breves inter ſe eſſe æquales, item omnes longas; univerſæ quippe conſtant temporibus, longæ duobus, breves uno. Hinc fit ut in Dactylo quatuor, in Pyrrichio duo tempora eſſe ſtatuamus, nec dictionis aut ſyllabæ Poëticæ literas curioſiùs inveſtigantes, nec ex earum

καταριθμοῦντες τοὺς χρόνους, ἀλλὰ ἐν δυνάμει τῆς ποσότητος.

IV. E Cod. MS. Par.

Ἀρκτέον δὲ ἀπὸ βραχείας· οὕτω τοίνυν ὁ Ἡφαιστίων αὐτὴν ὁρίζεται, " Βραχεῖα
" ἐστὶ συλλαβὴ ἡ ἔχουσα βραχὺ φωνῆεν ἢ
" βραχυνόμενον, μὴ ἐπὶ τέλους λέξεως,
" οὕτως ὡς μεταξὺ αὐτῆς καὶ τοῦ ἐν τῇ ἑξῆς
" συλλαβῇ φωνήεντος μὴ ὑπάρχειν σύμ-
" φωνα πλείονα ἑνὸς ἁπλοῦ, ἀλλ' ἤτοι ἕν, ἢ
" μηδὲ ἕν."

Πάνυ οὖν ἐπαίνου ἄξιος, ὡς πάντα ἔχων ὅσα δεῖ ὑγιῆ ὅρον ἔχειν. Ὅρος γὰρ τοῖς

numero, ſed ex numeri poteſtate, tempora metientes.

IV. E Cod. MS. Par.

Incipiendum autem à brevi ſyllaba: ſic verò eam definit Hephæſtion, *Syllaba ea brevis eſt, quæ habet vocalem brevem vel correptam, non in fine dictionis; et ita quidem ut eam inter et ſequentis ſyllabæ vocalem non interſint conſonantes plures unâ ſimplice, ſed aut una tantùm, aut nulla.*

Omninò ſanè laudanda definitio, utpote omnia habens quæ oportet habere legitimam definitionem. Nempe Philoſo-

φιλοσόφοις ἐστὶ, ὁ μηδὲν ἔξωθεν τῶν ὁριζομένων συμπεριλαμβάνων, ἢ ὁ μηδὲν τῶν ὁριζομένων καταλιπὼν, ὃς ἀντιστρέφει πρὸς τὸ κεφαλαιῶδες· τουτέστιν ἐὰν ἀλλήλων ὑπάρχουσιν οἱ ὅροι αὐτός τε ὁ ὅρος καὶ τὸ ὁριζόμενον, οὕτως ὡς ἐπὶ τοιοῦδε παραδείγματος· ἄνθρωπος ἐστὶ ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· εἴ τι οὖν ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, τοῦτό ἐστιν ἄνθρωπος πάντως· Καὶ αὖ πάλιν φωνή ἐστιν ἀὴρ πεπληγμένος· εἴ τι οὖν ἐστιν ἀὴρ πεπληγμένος, τοῦτο φωνὴ πάντως. Οὕτως οὖν καὶ ἐπὶ τοῦ προκειμένου ὅρου, εἴδομεν

phis definitio ea eſſe *ſtatuitur*, quæ nihil extra rem definitam complectitur, quæ nihil omittit rei definitæ, quæ cum rei ſummâ reciprocatur; ſi videlicet definitio ipſa, et illud quod definitur, alterum alterius definitio ſit, ſic ut in hoc exemplo: Homo eſt animal ſermone præditum, mortale, intelligentiæ et ſcientiæ capax: ſiquod igitur animal ſermone præditum eſt, et mortale, idemque intelligentiæ et ſcientiæ capax, homo illud prorſus eſt. Item ſonus eſt aër percuſſus: ſiqua res igitur aër eſt percuſſus, ea utique eſt ſonus. Eodem modo nos in propoſitá definitione

τὸ ἀντιςρέφον· εἴ τι ἐςὶ βραχὺ φωνῆεν, μὴ ἐπὶ τέλους λέξεως κείμενον, μετὰ τῆς ἄλλης συλλαβῆς οὐκ ἔχον σύμφωνα ἑνὸς πλείονα, τοῦτο πάντως ἐςὶ συλλαβὴ βραχεῖα. Προείρηται δὲ τὸ μὴ ἐπὶ τέλους λέξεως κείμενον, διὰ τὸ κοινὸν λεγόμενον· [ἐάνπερ εἰς μέρος ἀπαρτίζῃ λόγου, πρὸς τὸ κοίνης ὑποπίπτει λόγῳ· οἷον ὅταν συλλαβὴ βραχεῖα ἐςὶν ἐπὶ τέλους λέξεως κειμένη, ἐνομίσθη ποτὲ μακρὰ, ὡς ἡ παρὰ τῷ ποιητῇ, "τὰ περὶ καλὰ "ῥέεθρα·" καὶ αὖ πάλιν ἡ "πρὸς" συλλαβὴ βραχεῖα ἐςὶν, ἀλλ' ἐν τόπῳ κεῖται μακρᾶς, ὅταν Ὅμηρος εἴπῃ, "πρὸς οἶκον "Πηλῆος·" σπονδεῖον γὰρ δεῖ εἶναι τὸν

videamus id quod reciprocatur; ſi qua eſt vocalis brevis, nec ea in fine dictionis poſita, quæ non habeat poſt ſe plures unâ conſonantes, ea utique eſt brevis ſyllaba. Anteà verò dictum fuit, *non in fine dictionis poſita*, propter eam *vocalem*, quæ communis dicitur: [ſi faciat partem integram orationis, incidit in naturam *vocalis* communis: velut cum brevis ſyllaba in fine dictionis poſita, aliquando longa habita eſt, ut apud Poëtam, τὰ περὶ καλὰ ῥέεθρα: ita et ſyllaba πρὸς brevis per ſe eſt: ſed longæ locum obtinet, ubi Homerus ait, πρὸς οἶκον Πηλῆος, quoniam ibi pedem opor-

πόδα.] Εἰ δὲ φησὶ μὴ ἔχει σύμφωνον μεταξὺ ἓν, ἀλλὰ τὴν μακράν· εἰ γὰρ συμβαίη βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι δύο σύμφωνα ἐπενεχθῆναι, μακρὰν ποιήσει τὴν συλλαβήν· οἷον ἡ μὲν συλλαβὴ ἐστὶ βραχεῖα, ἀλλ' ἐὰν δύο σύμφωνα ἐπενεχθῇ, ὡς ἐν τῷ "Ἕκτωρ," μακρὰν ποιήσει τὴν συλλαβήν. Διὰ τοῦτο προσέθηκε, μὴ δεῖν ὑπάρχειν σύμφωνα δύο, ἀλλ' ἓν ἁπλοῦν, ἢ μηδὲ ἕν· καὶ γὰρ ἐὰν διπλοῦν προσενεχθῇ, μακρὰν ποιήσει τὴν συλλαβὴν, ὡς ἐν τῷ, "ἄξω ἑλών."

tet eſſe ſpondeum.] Illud autem, "ſi non in-"terſint plures unâ con-"ſonantes," *additum eſt definitioni*, propter eam *vocalem* quæ *poſitione ſit* longa: nam ſi contigerit, ut vocali, ſeu brevi ſeu correptæ, poſtpoſitæ ſunt duæ conſonantes, eæ ſyllabam longam efficient: ſic vocalis ε ſyllaba eſt brevis; at ſi duæ conſonantes poſtpoſitæ ſint, ut in voce Ἕκτωρ, eæ ſyllabam longam facient. Idcirco *auctor definitionis* addidit, non oportere ſubſequi duas conſonantes, ſed unam quæ ſimplex eſt, vel nullam: nam et duplex ſi acceſſerit, ſyllabam productura eſt, ut in ἄξω ἑλών.

μέχρι πρόσω ἀκμάσαντες, Ἄννιός τε καὶ Μήδιος· Περιπατητικῶν δὲ ὁ Ἀλεξανδρεὺς Ἡλιόδωρος. Τοῦ δὲ δευτέρου Πλατωνικοὶ μὲν Ἀμμώνιος καὶ Ὠριγένης, οἷς ἡμεῖς τὸ πλεῖστον τοῦ χρόνου προσεφοιτήσαμεν, ἀνδράσιν οὐκ ὀλίγῳ τῶν καθ' ἑαυτοὺς εἰς σύνεσιν διενεγκοῦσιν· οἵ τε Ἀθήνησι διάδοχοι Διόδοτος, καὶ Εὔβουλος. Καὶ γὰρ εἴ τι τούτων γέγραπταί τισιν, ὥσπερ Ὠριγένει μὲν τὸ ΠΕΡΙ ΔΑΙΜΟΝΩΝ, Εὐβούλῳ δὲ τὸ ΠΕΡΙ ΤΟΥ ΦΙΛΗΒΟΥ ΚΑΙ ΤΟΥ ΓΟΡΓΙΟΥ, καὶ τῶν Ἀριστοτέλει ΠΡΟΣ ΤΗΝ ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΙΑΝ ἀντειρημένων, οὐκ ἐχέγγυα πρὸς τὸ μετὰ τῶν ἐξαρ-

modum floruerunt, Annius et Medius: è Peripateticis autem Heliodorus Alexandrinus. Secundi generis *fuerunt* Ammonius et Origenes, quos nos diutiſſimè frequentavimus, viros qui æquales ſuos ſapientiâ multum excellerent: tum et qui *in ſcholâ* Athenis ſucceſſere, Diodotus et Eubulus. Licet enim ex hiſce nonnulli quædam ſcripſerint, ut Origenes, qui DE DÆMONIBUS *ſcripſit*; et Eubulus, qui IN PHILEBUM ET GORGIAM *commentarium edidit*, atque Ariſtoteli CONTRA PLATONIS REMPUBLICAM reſpondit: non illa tanti ſunt, ut ea propter inter illos referri merean-

γασμένων τὸν λόγον αὐτοὺς ἀριθμεῖν ἂν γέ-
νοιτο, παρέργῳ τῇ τοιαύτῃ χρησαμένων σπουδῇ,
καὶ μὴ προηγουμένην περὶ τοῦ γράφειν ὁρμὴν
λαβόντων. Τῶν δὲ Στωϊκῶν Ἑρμῖνος καὶ
Λυσίμαχος, οἵτε ἐν ἄστει καταβιώσαντες Ἀ-
θηναῖος καὶ Μουσώνιος· καὶ Περιπατητικῶν
Ἀμμώνιος καὶ Πτολεμαῖος, φιλολογώτατοι
μέντοι τῶν καθ᾽ αὐτοὺς ἄμφω γενόμενοι, καὶ
μάλιστα ὁ Ἀμμώνιος, (οὐ γάρ ἐστιν, ὅστις ἐκ-
είνῳ γέγονεν εἰς πολυμάθειαν παραπλήσιος),
οὐ μὴν καὶ γράψαντές γε τεχνικὸν οὐδὲν, ἀλλὰ
ποιήματα καὶ λόγους ἐπιδεικτικοὺς, ἅπερ οὖν

tur, qui deditâ operâ literis *Philoſophiæ* dogmata explicuerunt; quum hæc ipſis opuſcula velut parerga *ſeu fortuita* fuerint, nullo certo ac ſerio ſcribendi conſilio ſuſcepta atque elaborata. Ex Stoïcis porrò Herminus et Lyſimachus; quique in urbe vivendi tempora tranſegerunt, Athenæus et Muſonius; et ex Peripateticis Ammonius et Ptolemæus, qui ambo omnium ſuorum æqualium maximè Philologi erant; præſertim verò Ammonius, (neque enim quiſquam eſt, qui, quod ad diffuſam elegantiorum literarum et omnis ſcientiæ notitiam, cum eo comparari queat), nil tamen, quod ad *Philoſophiæ* artem pertineret, ſcripſere; ſed poëmata tantummodo *non-*

καὶ σωθῆναι, τὴν ἀνδρῶν τούτων οὐκ ἑκόντων, οἶμαι· μὴ γὰρ ἂν αὐτοὺς δέξασθαι διὰ τοιούτων βιβλίων ὕστερον γίνεσθαι γνωρίμους, ἀφέντας σπουδαιοτέροις συγγράμμασι τὴν ἑαυτῶν παραθησαυρίσαι διάνοιαν. Τῶν δ' οὖν γραψάντων οἱ μὲν οὐδὲν πλέον ἢ συναγωγὴν, καὶ μεταγραφὴν τῶν τοῖς πρεσβυτέροις συντεθέντων ἐποιήσαντο, καθάπερ Εὐκλείδης, καὶ Δημόκριτος, καὶ Προκλῖνος· οἱ δὲ, μικρὰ κομιδῆ πράγματα τῆς τῶν παλαιῶν ἱστορίας ἀπομνημονεύσαντες, εἰς τοὺς αὐτοὺς τόπους ἐκείνοις ἐπεχείρησαν συνθεῖναι βιβλία, καθάπερ Ἄννιός τε καὶ Μήδιος, καὶ

nulla, et quaſdam Demonſtrativi generis orationes; quæ quidem, invitis ipſis, etiam nunc ſupereſſe exiſtimo: neque enim *cenſeas* illos crediſſe ob hujuſmodi libellos ſe apud poſteros notos fore, omittentes literis curâ dignioribus ſuas mentes locupletare. Rurſus ex eorum numero, qui quid commentati ſunt, quidam nil niſi collectanea aliqua, aut ex aliis deſcripta vetuſtioribus, in medium protulere; quemadmodum Euclides fecit, necnon Democritus, atque item Proclinus: alii verò, minutas prorſus quaſdam veterum doctrinæ particulas ad interpretandum ſibi deligentes, de iiſdem, atque illi, locis aggreſſi ſunt libellos componere; quo ex numero Annius

Φοιβίων· οὗτος μὲν ἀπὸ τοῦ ἐν τῇ λέξει κατασκευῆς γνωρίζεσθαι μᾶλλον, ἢ τοῦ ἐν τῇ διανοίᾳ συνθέσεως ἀξιῶν. Οἷς καὶ τὸν Ἡλιόδωρον συγκατανείμειέ τις ἄν, οὐδ' ἐκεῖνον παρὰ τὰ τοῖς πρεσβυτέροις ἐν ταῖς ἀκροάσεσιν εἰρημένα πλέον τι συμβαλλόμενον εἰς τὴν τοῦ λόγου διάρθρωσιν. Οἱ δὲ καὶ πλήθει προβλημάτων, ἃ μετεχειρίσαντο, τὴν σπουδὴν τοῦ γράφειν ἀποδειξάμενοι, καὶ τρόπῳ θεωρίας ἰδίῳ χρησάμενοι, Πλωτῖνός εἰσι καὶ Γεντιλιανὸς Ἀμέλιος· ὁ μὲν τὰς Πυθαγορείας ἀρχὰς καὶ Πλατωνικάς, ὡς ἐδόκει, πρὸς σαφεστέραν τῶν πρὸ αὐτοῦ καταστησάμενος

et Medius ſunt, necnon et Phœbion; atque hic quidem elocutionis elegantiâ potiùs, quàm rerum ac ſententiarum pondere, innoteſcere ſtuduit. Iiſdem et Heliodorum licet adjungamus: nam neque hic quidquam novi et veteribus indicti ad diſtinctam Philoſophiæ dogmatum explicationem de ſuo contulit. At qui etiam numero problematum, quæ tractârunt, ſcribendi ſtudium et diligentiam oſtenderunt, et ſingulari quadam contemplandi ratione uſi ſunt, Plotinus et Gentilianus Amelius fuerunt: quorum ille principia Pythagorica et Platonica multò, ut videtur, quàm quiſquam priorum, dilu-

ἐξήγησιν, (οὐδὲ γὰρ οὐδ᾽ ἐγγύς τι τὰ Νουμηνίου καὶ Κρονίου, καὶ Μοδεράτου, καὶ Θρασύλλου, τοῖς Πλωτίνου περὶ τῶν αὐτῶν συγγράμμασιν εἰς ἀκρίβειαν) ὁ δὲ Ἀμέλιος κατ᾽ ἴχνη μὲν τούτου βαδίζειν προαιρούμενος, καὶ τὰ πολλὰ μὲν τῶν αὐτῶν δογμάτων ἐχόμενος, τῇ δὲ ἐξεργασίᾳ πολὺς ὤν, καὶ τῇ τῆς ἑρμηνείας περιβολῇ πρὸς τὸ ἐναντίον ἐκείνῳ ζῆλον ὑπαγόμενος. Ὧν καὶ μόνων ἡμεῖς ἄξιον εἶναι νομίζομεν ἐπισκοπεῖσθαι τὰ συγγράμματα· τοὺς μὲν γὰρ λοιποὺς τί τις ἂν κινεῖν οἴοιτο δεῖν, ἀφεὶς ἐξετάζειν ἐκείνους, παρ᾽ ὧν ταῦτα λαβόντες οὗτοι γεγράφασιν;

cidiùs explanavit; (non enim illæ *commentationes* Numenii, aut Cronii, aut Moderati, aut Thraſylli, propter accuratam explicationem cum Plotini commentationibus de iiſdem rebus *componendæ ſunt:)* Amelius autem, hujus veſtigia dum ſibi legenda proponit, eadem quidem habet et exponit dogmata, verùm prolixior multò in illorum tractatione, latioreque uſus interpretationis ambitu, in contrariam Plotino tractandi formam deflectere videtur. Et hi quidem ſoli ſunt, quorum ſcripta curâ noſtrâ et cognitione digna exiſtimem. Nam reliquos quare quis attingere operæ pretium putet, omittens ad ipſos recur-

οὐδὲν αὐτοὶ παρ' αὐτῶν προσθέντες οὐχ ὅτι τῶν κεφαλαίων, ἀλλ' οὐδὲ τῶν ἐπιχειρημάτων, οὐδ' οὖν ἢ συναγωγῆς τῶν παρὰ τοῖς πλείοσιν, ἢ κρίσεως τοῦ βελτίονος ἐπιμεληθέντες. Ἤδη μὲν οὖν καὶ δι' ἄλλων τοῦτο πεποιήκαμεν, ὥσπερ καὶ τῷ μὲν Γεντιλιανῷ ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΠΛΑΤΩΝΑ ΔΙΚΑΙΟΣΥΝΗΣ ἀντειπόντες, τοῦ δὲ Πλωτίνου τὸ ΠΕΡΙ ΤΩΝ ΙΔΕΩΝ ἐπισκεψάμενοι. Τὸν μὲν γὰρ κοινὸν ἡμῶν τε κἀκείνων ἑταῖρον ὄντα Βασιλέα τὸν Τύριον, οὐδ' αὐτὸν ὀλίγα πεπραγματευμένον κατὰ τὴν τοῦ Πλωτίνου μίμησιν, (ὃν ἀποδεξάμενος μᾶλλον τῆς παρ'

rere, à quibus illi hæc mutuantes ſcripſerunt? præſertim cum nihil omninò de ſuo addiderint; et non modò non rerum capitum, ſed ne argumentationum quidem, neque aut collectionis eorum quæ à plurimis *dicuntur*, aut deligendi optima quæque curam illam geſſerint. Ego verò et in aliis hoc ipſum ſcriptis jammodò plus ſemel præſtiti; ſicut et Gentiliano, DE JUSTITIA QUÆ APUD PLATONEM EST, reſpondi; tum verò Plotini de IDEIS *commentarium* examinavi. Communem enim noſtrum omnium amicum Regem illum Tyrium, qui et ipſe non pauca ad exemplum et imitationem Plotini commentatus eſt, (quum, illius rationem atque diſcipli-

ἡμῖν ἀγωγῆς, ἐπεχείρησε διὰ συγγράμματος ἀποδεῖξαι, βελτίω δόξαν περὶ τῶν ἰδεῶν τῆς ἡμῖν ἀρεσκούσης ἔχοντα), μετρίως ἀντιγραφῇ διελέγξαι δοκοῦμεν, οὐκ εὖ παλινῳδήσαντα· κἀν τούτοις οὐκ ὀλίγας τῶν ἀνδρῶν τούτων κεκινηκότες δόξας, ὥσπερ καὶ ἐν Τῌ ΠΡΟΣ ΤΟΝ ἈΜΕΛΙΟΝ ἘΠΙΣΤΟΛῌ, μέγεθος μὲν ἐχούσῃ συγγράμματος, ἀποκρινομένῃ δὲ πρὸς ἄττα τῶν ὑπ᾽ αὐτοῦ πρὸς ἡμᾶς ἀπὸ τῆς Ῥώμης ἀπεσταλμένων, ἣν αὐτὸς μὲν ἐπιστολὴν ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΤΗΣ ΠΛΩΤΙΝΟΥ ΦΙΛΟΣΟΦΙΑΣ ἔγραψεν. Ἡμεῖς δὲ αὐτὸ μόνον προσηρκέσθημεν

nam noſtræ præferens, multò illum meliorem de Ideis ſententiam, quàm quæ nobis probaretur, amplecti, edito in vulgus ſcripto demonſtrare in animum induxiſſet), mediocriter reſponſione meâ confutâſſe videor, quòd non rectè *ſuam ſententiam* retractavit; præterea non paucas opuſculis hiſce meis illorum virorum ſententias convelliſſe; ſicut in *meâ*, quæ ad commentarii magnitudinem accedit, ADVERSUS AMELIUM EPISTOLA, quæque illis reſpondit quæ ab illo mihi Româ miſſa erant; quam Epiſtolam ipſe inſcripſit DE PLOTINI PHILOSOPHANDI RATIONE. Ego verò, communi tantummodò inſcriptione contentus, ſim-

τῇ κοινῇ τοῦ συγγράμματος ἐπιγραφῇ ΠΡΟΣ ΤΟΝ ᾿ΑΜΕΛΙΟΝ ᾿ΕΠΙΣΤΟΛΗΝ αὐτὸ προσαγορεύσαντες.

VI. Ex Porphyrio in vitâ Plotini, p. 12. *Edit. Baſil.*

Καὶ σὺ μὲν ταυτά τε βιβλία πέμπειν, ὅταν σοι δοκῇ· μᾶλλον δὲ κομίζειν. Οὐ γὰρ ἂν ἀποσταίην τοῦ πολλάκις δεῖσθαί σου τὴν πρὸς ἡμᾶς ὁδὸν τῆς ἑτέρωσε προκρῖναι, καὶ εἰ μηδὲν δι᾽ ἄλλο (τί γὰρ ἂν καὶ σοφὸν παρ᾽ ἡμῶν προσδοκῶν ἀφίκοιο;) τήν γε παλαιὰν συνήθειαν, καὶ τὸν ἀέρα, μετριώτατον ὄντα πρὸς

pliciter opuſculum hoc meum Epistolam adversus Amelium indigitavi.

VI. Ex Porphyrii in vitâ Plotini, p. 12.

Edit. Baſil.

Ac tu quidem, ubi commodum erit, libros illos mittes: quin potiùs ipſe adfer. Non enim rogare te ſæpius deſinam, ut hoc ad nos iter omni alteri anteponas: etiamſi nullâ aliâ de cauſâ (quid enim ſapientiæ adventu tuo apud me lucraturum te ſperes?) certè et ob veterem noſtram conſuetudinem, et ob aërem, qui temperatus eſt, *et utilis* ad eam

ἣν λέγεις σώματος ἀσθένειαν. Κἂν ἄλλο τι τύχῃς οἰηθεὶς, παρ' ἐμοῦ δὲ μηδὲν προσδοκῶν καινότερον, μηδ' οὖν τῶν παλαιῶν, ὅσα φῂς ἀπολωλεκέναι· τῶν γὰρ γραψάντων τοσαύτη σπάνις ἐνταῦθα καθέστηκεν, ὥστε, νὴ τοὺς θεοὺς, πάντα τὸν χρόνον τοῦτον τὰ λειπόμενα τῶν Πλωτίνου κατασκευάζων μόλις αὐτῶν ἐπεκράτησα, τὸν ὑπογραφέα τῶν μὲν εἰωθότων ἀπάγων ἔργων, πρὸς ἑνὶ δὲ τούτῳ τάξας γίνεσθαι. Καὶ κέκτημαι μὲν ὅσα δοκεῖν πάντα καὶ τὰ νῦν ὑπὸ σοῦ πεμφθέντα· κέκτημαι δὲ ἡμιτελῶς, οὐ γὰρ μετρίως ἦν διημαρτημένα. Καίτοι τὸν ἑταῖρον Ἀμέλιον

corporis imbecillitatem, quâ te dicis *affectum eſſe*. Et ſi quid aliud, quod cogitas, nanciſcaris, at à me ne quid recentius expectes, imo nec veterum quidem quidquam *ſcriptorum* quæ periiſſe dicis: tanta namque hic loci ſcribarum eſt inopia, ut toto hoc tempore vix, ita me dii ament, librarium nanciſci potuerim, qui mihi Plotini quæ deerant colligenti deſcriberet; quem ego ab conſueto opere abductum huic uni curæ intentum eſſe juſſi. Cuncta verò jam, ni fallor, ſcripta ejus comparavi, atque etiam illa quæ mihi recens ſubmiſiſti: attamen imperfecta ea ſunt, quæ nactus ſum; non enim mediocriter erant corrupta. Quamquam ſodalem ego noſtrum Ame-

ᾤμην ἀναλήψεσθαι τὰ τῶν γραφέων πταίσματα· τῷ δ' ἦν ἄλλα προὐργιαίτερα τῆς τοιαύτης προσεδρίας. Οὐκ οὖν ἔχω τίνα χρὴ τρόπον αὐτοῖς ὁμιλῆσαι, καίπερ ὑπερεπιθυμῶν τά τε ΠΕΡΙ ΨΥΧΗΣ καὶ τὰ ΠΕΡΙ ΤΟΥ ΟΝΤΟΣ ἐπισκέψασθαι· ταῦτα γὰρ οὖν καὶ μάλιστα διημάρτηται. Καὶ πάνυ βουλοίμην ἂν ἐλθεῖν μοι παρὰ σοῦ τὰ μετ' ἀκριβείας γεγραμμένα, τοῦ παραναγνῶναι μόνον, εἶτα ἀποπέμψαι πάλιν. Αὖθις δὲ τὸν αὐτὸν ἐρῶ λόγον· ὅτι μὴ πέμπειν, ἀλλ' αὐτὸν ἥκειν ἔχοντα μᾶλλον ἀξιῶ, ταῦτά τε, καὶ τῶν λοιπῶν εἴ τι διαπέφευγε τὸν Ἀμέλιον·

